ΕΥΚΛΕΙΔΟΥ

ΣΤΕΡΕΟΜΕΤΡΙΑ

Erhalten 1/12. 57.
Gebunden 19/12 57

ΕΥΑΓΓΕΛΟΥ Σ. ΣΤΑΜΑΤΗ

ΕΥΚΛΕΙΔΟΥ ΣΤΕΡΕΟΜΕΤΡΙΑ

ΣΤΟΙΧΕΙΩΝ ΒΙΒΛΙΑ XI. XII. XIII.

ΑΡΧΑΙΟΝ ΚΕΙΜΕΝΟΝ
ΜΕΤΑΦΡΑΣΙΣ — ΕΠΕΞΗΓΗΣΕΙΣ

ΤΟΜΟΣ IV

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΣΧΟΛΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ 1957

ΠΡΟΛΟΓΟΣ

Διὰ τῆς ἐκδόσεως τοῦ τετάρτου τόμου τῶν Στοιχείων τοῦ Εὐκλείδου τοῦ περιλαμβάνοντος τὰ βιβλία XI, XII, XIII, ἤτοι τὰ στοιχεῖα τῆς στερεομετρίας, ὁλοκληροῦται ἡ ἔκδοσις τῶν 13 βιβλίων τῶν Στοιχείων. Ὁ μελετητὴς τοῦ τόμου τούτου θὰ διαπιστώσῃ ἐκ τῶν σχημάτων πολλῶν θεωρημάτων, ὅτι οἱ ἀρχαῖοι Ἕλληνες ἐγνώριζον προβολικὴν καὶ παραστατικὴν γεωμετρίαν.

Ἐπιστέγασμα τοῦ ὅλου ἔργου τῶν Στοιχείων εἶναι ἡ κατασκευὴ καὶ ἡ ἐγγραφὴ τῶν πέντε κανονικῶν πολυέδρων, ἤτοι τοῦ τετραέδρου, τοῦ ὀκταέδρου, τοῦ κύβου, τοῦ εἰκοσαέδρου καὶ τοῦ δωδεκαέδρου, εἰς σφαῖραν. Ὁ σπουδάζων τὰ Στοιχεῖα ἐν γένει καὶ πρὸ παντὸς ἐκ τούτων τὰ συναφῆ πρὸς τὰ κανονικὰ πολύεδρα θεωρήματα μένει ἔκπληκτος πρὸ τοῦ μεγαλείου, τῆς δυνάμεως καὶ τοῦ ἀνυπερβλήτου κάλλους τῆς ἑλληνικῆς μαθηματικῆς σκέψεως.

Ὅπως εἰς τὴν ἐπιπεδομετρίαν, τὴν θεωρίαν τῶν ἀριθμῶν καὶ τὴν θεωρίαν τῶν ἀσυμμέτρων (βιβλία I — X), οὕτω καὶ εἰς τὴν στερεομετρίαν ὁ Εὐκλείδης οὐδένα ἀριθμητικὸν ὑπολογισμὸν ἐπιχειρεῖ. Φαίνεται λίαν πιθανόν, ὅτι τὸ ἔργον τοῦτο ὁ Εὐκλείδης τὸ θεωρεῖ ὡς μὴ ἀνῆκον εἰς τὴν ἔρευναν τῶν ἰδιοτήτων τοῦ χώρου, ἥτις ὁδηγεῖ τὸν ἐρευνητὴν ἐγγύτερον πρὸς τὴν θεώρησιν τοῦ Θείου.

verständig

Εἰς τοὺς νεωτέρους μαθηματικοὺς γεννᾶται τὸ εὔλογον ἐρώτημα, ἂν οἱ ἀρχαῖοι Ἕλληνες ἐγνώριζον τὸ θεώρημα : Τ ὸ π λ ῆ θ ο ς τ ῶ ν κ ο ρ υ φ ῶ ν κ α ὶ τ ῶ ν ἑ δ ρ ῶ ν ἑ ν ὸ ς κ α ν ο ν ι κ ο ῦ κ υ ρ τ ο ῦ π ο λ υ έ δ ρ ο υ ἰ σ ο ῦ τ α ι μ ὲ τ ὸ π λ ῆ θ ο ς τ ῶ ν ἀ κ μ ῶ ν τ ο ύ τ ο υ σ ὺ ν δ ύ ο. Ἂν λάβῃ τις ὑπ᾽ ὄψιν, ὅτι οἱ ἀρχαῖοι Ἕλληνες ἀνεκάλυψαν τοὺς δυσκολωτάτους καὶ ὑπερόχους νόμους τῆς κατασκευῆς καὶ ἐγγραφῆς εἰς σφαῖραν τῶν κανονικῶν πολυέδρων, ἄγεται κατ᾽ ἀνάγκην εἰς τὸ

schwierig

vortrefflich

συμπέρασμα, ὅτι τὸ ἀνωτέρω θεώρημα ἦτο γνωστὸν εἰς αὐτούς. Ἱστορικὴν ὅμως μαρτυρίαν περὶ τούτου δὲν ἔχομεν. Ἐνδείξεις τινὰς καὶ συναφεῖς πληροφορίας σημειοῦμεν εἰς τὸ τέλος τῶν ἐπεξηγήσεων.

Ε. ΣΤΑΜΑΤΗΣ

Ἔγραφον ἐν Ἀθήναις κατὰ Φεβρουάριον 1957.

ΣΤΟΙΧΕΙΑ

ΑΡΧΑΙΟΝ ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ

ΕΠΕΞΗΓΗΣΕΙΣ

ια΄.

Ὅροι.

α΄. Στερεόν ἐστι τὸ μῆκος καὶ πλάτος καὶ βάθος ἔχον.

β΄. Στερεοῦ δὲ πέρας ἐπιφάνεια.

γ΄. Εὐθεῖα πρὸς ἐπίπεδον ὀρθή ἐστιν, ὅταν πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ [ὑποκειμένῳ] ἐπιπέδῳ ὀρθὰς ποιῇ γωνίας.

δ΄. Ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθόν ἐστιν, ὅταν αἱ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων πρὸς ὀρθὰς ἀγόμεναι εὐθεῖαι ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ λοιπῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσιν.

ε΄. Εὐθείας πρὸς ἐπίπεδον κλίσις ἐστίν, ὅταν ἀπὸ τοῦ μετεώρου πέρατος τῆς εὐθείας ἐπὶ τὸ ἐπίπεδον κάθετος ἀχθῇ, καὶ ἀπὸ τοῦ γενομένου σημείου ἐπὶ τὸ ἐν τῷ ἐπιπέδῳ πέρας τῆς εὐθείας εὐθεῖα ἐπιζευχθῇ, ἡ περιεχομένη γωνία ὑπὸ τῆς ἀχθείσης καὶ τῆς ἐφεστώσης.

ϛ΄. Ἐπιπέδου πρὸς ἐπίπεδον κλίσις ἐστὶν ἡ περιεχομένη ὀξεῖα γωνία ὑπὸ τῶν πρὸς ὀρθὰς τῇ κοινῇ τομῇ ἀγομένων πρὸς τῷ αὐτῷ σημείῳ ἐν ἑκατέρῳ τῶν ἐπιπέδων.

ζ΄. Ἐπίπεδον πρὸς ἐπίπεδον ὁμοίως κεκλίσθαι λέγεται καὶ ἕτερον πρὸς ἕτερον, ὅταν αἱ εἰρημέναι τῶν κλίσεων γωνίαι ἴσαι ἀλλήλαις ὦσιν.

η΄. Παράλληλα ἐπίπεδά ἐστι τὰ ἀσύμπτωτα.

θ΄. Ὅμοια στερεὰ σχήματά ἐστι τὰ ὑπὸ ὁμοίων ἐπιπέδων περιεχόμενα ἴσων τὸ πλῆθος.

ι΄. Ἴσα δὲ καὶ ὅμοια στερεὰ σχήματά ἐστι τὰ ὑπὸ ὁμοίων ἐπιπέδων περιεχόμενα ἴσων τῷ πλήθει καὶ τῷ μεγέθει.

ια΄. Στερεὰ γωνία ἐστὶν ἡ ὑπὸ πλειόνων ἢ δύο γραμμῶν ἁπτομένων ἀλλήλων καὶ μὴ ἐν τῇ αὐτῇ ἐπιφανείᾳ οὐσῶν πρὸς πάσαις ταῖς γραμμαῖς κλίσις. Ἄλλως· στερεὰ γωνία ἐστὶν ἡ ὑπὸ πλειόνων ἢ δύο γωνιῶν ἐπιπέδων περιεχομένη μὴ οὐσῶν ἐν τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ἑνὶ σημείῳ συνισταμένων.

ιβ΄. Πυραμίς ἐστι σχῆμα στερεὸν ἐπιπέδοις περιεχόμενον ἀπὸ ἑνὸς ἐπιπέδου πρὸς ἑνὶ σημείῳ συνεστώς.

ιγ΄. Πρίσμα ἐστὶ σχῆμα στερεὸν ἐπιπέδοις περιεχόμενον, ὧν δύο τὰ ἀπεναντίον ἴσα τε καὶ ὅμοιά ἐστι καὶ παράλληλα, τὰ δὲ λοιπὰ παραλληλόγραμμα.

ιδ΄. Σφαῖρά ἐστιν, ὅταν ἡμικυκλίου μενούσης τῆς διαμέτρου περι-

Βιβλίον XI.

Ὁρισμοί.

1. Στερεὸν εἶναι τὸ ἔχον μῆκος καὶ πλάτος καὶ βάθος.

2. Στερεοῦ δὲ πέρας ἐπιφάνεια.

3. Εὐθεῖα εἶναι κάθετος ἐπὶ ἐπίπεδον, ὅταν εἶναι κάθετος ἐπὶ πάσας τὰς εὐθείας τὰς κειμένας ἐν τῷ (θεωρουμένῳ) ἐπιπέδῳ καὶ διερχομένας διὰ τοῦ ποδὸς αὐτῆς.

4. Ἐπίπεδον εἶναι κάθετον ἐπὶ ἐπίπεδον, ὅταν αἱ κάθετοι ἐπὶ τὴν κοινὴν τομὴν τῶν ἐπιπέδων αἱ κείμεναι ἐν ἑνὶ τῶν ἐπιπέδων εἶναι κάθετοι ἐπὶ τὸ ἄλλο.

5. Κλίσις εὐθείας πρὸς ἐπίπεδον εἶναι, ὅταν ἀπὸ τοῦ ἐκτὸς τοῦ ἐπιπέδου εὑρισκομένου πέρατος τῆς εὐθείας ἀχθῇ ἐπὶ τὸ ἐπίπεδον κάθετος, καὶ ἀπὸ τοῦ ποδὸς τῆς καθέτου ἀχθῇ εὐθεῖα μέχρι τοῦ σημείου τομῆς τῆς εὐθείας καὶ τοῦ ἐπιπέδου, ἡ περιεχομένη γωνία ὑπὸ τῆς δοθείσης καὶ τῆς ἀχθείσης.

6. Κλίσις ἐπιπέδου πρὸς ἐπίπεδον εἶναι ἡ ὀξεῖα γωνία ἡ περιεχομένη ὑπὸ τῶν καθέτων ἐπὶ τὴν κοινὴν τομὴν τῶν ἀγομένων εἰς τὸ αὐτὸ σημεῖον ἐν ἑκατέρῳ τῶν ἐπιπέδων.

7. Ἐπίπεδον πρὸς ἐπίπεδον λέγεται ὁμοίως κεκλιμένον καὶ ἄλλο πρὸς ἄλλο, ὅταν αἱ γωνίαι κλίσεως εἶναι ἴσαι.

8. Παράλληλα ἐπίπεδα εἶναι τὰ ἀσύμπτωτα.

9. Ὅμοια στερεὰ σχήματα εἶναι τὰ ὑπὸ ὁμοίων ἐπιπέδων, ἴσων τὸ πλῆθος, περιεχόμενα.

10. Ἴσα δὲ καὶ ὅμοια στερεὰ σχήματα εἶναι τὰ ὑπὸ ὁμοίων ἐπιπέδων περιεχόμενα, ἴσων κατὰ τὸ πλῆθος καὶ τὸ μέγεθος.

11. Στερεὰ γωνία εἶναι ἡ κλίσις πρὸς πάσας τὰς γραμμὰς περισσοτέρων τῶν δύο εὐθειῶν γραμμῶν ἁπτομένων ἀλλήλων καὶ μὴ κειμένων ἐν τῷ αὐτῷ ἐπιπέδῳ. Ἄλλως· στερεὰ γωνία εἶναι ἡ περιεχομένη ὑπὸ περισσοτέρων τῶν δύο ἐπιπέδων γωνιῶν μὴ κειμένων ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐχουσῶν κοινὴν κορυφήν.

12. Πυραμὶς εἶναι στερεὸν σχῆμα περιεχόμενον ὑπὸ ἐπιπέδων ἀρχομένων ἀπὸ ἑνὸς ἐπιπέδου καὶ καταληγόντων εἰς ἓν σημεῖον.

13. Πρίσμα εἶναι σχῆμα στερεὸν περιεχόμενον ὑπὸ ἐπιπέδων, τῶν ὁποίων δύο ἀπέναντι κείμενα εἶναι ἴσα, ὅμοια καὶ παράλληλα, τὰ δὲ λοιπὰ παραλληλόγραμμα.

14. Σφαῖρα εἶναι τὸ περιληφθὲν σχῆμα, ὅταν ἡμικύκλιον στραφὲν περὶ

ενεχθὲν τὸ ἡμικύκλιον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα.

ιε'. Ἄξων δὲ τῆς σφαίρας ἐστὶν ἡ μένουσα εὐθεῖα, περὶ ἣν τὸ ἡμικύκλιον στρέφεται.

ις'. Κέντρον δὲ τῆς σφαίρας ἐστὶ τὸ αὐτό, ὃ καὶ τοῦ ἡμικυκλίου.

ιζ'. Διάμετρος δὲ τῆς σφαίρας ἐστὶν εὐθεῖά τις διὰ τοῦ κέντρου ἠγμένη καὶ περατουμένη ἐφ' ἑκάτερα τὰ μέρη ὑπὸ τῆς ἐπιφανείας τῆς σφαίρας.

ιη'. Κῶνός ἐστιν, ὅταν ὀρθογωνίου τριγώνου μενούσης μιᾶς πλευρᾶς τῶν περὶ τὴν ὀρθὴν γωνίαν περιενεχθὲν τὸ τρίγωνον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα. κἂν μὲν ἡ μένουσα εὐθεῖα ἴση ᾖ τῇ λοιπῇ [τῇ] περὶ τὴν ὀρθὴν περιφερομένῃ, ὀρθογώνιος ἔσται ὁ κῶνος, ἐὰν δὲ ἐλάττων, ἀμβλυγώνιος, ἐὰν δὲ μείζων, ὀξυγώνιος.

ιθ'. Ἄξων δὲ τοῦ κώνου ἐστὶν ἡ μένουσα εὐθεῖα, περὶ ἣν τὸ τρίγωνον στρέφεται.

κ'. Βάσις δὲ ὁ κύκλος ὁ ὑπὸ τῆς περιφερομένης εὐθείας γραφόμενος.

κα'. Κύλινδρός ἐστιν, ὅταν ὀρθογωνίου παραλληλογράμμου μενούσης μιᾶς πλευρᾶς τῶν περὶ τὴν ὀρθὴν γωνίαν περιενεχθὲν τὸ παραλληλόγραμμον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα.

κβ'. Ἄξων δὲ τοῦ κυλίνδρου ἐστὶν ἡ μένουσα εὐθεῖα, περὶ ἣν τὸ παραλληλόγραμμον στρέφεται.

κγ'. Βάσεις δὲ οἱ κύκλοι οἱ ὑπὸ τῶν ἀπεναντίον περιαγομένων δύο πλευρῶν γραφόμενοι.

κδ'. Ὅμοιοι κῶνοι καὶ κύλινδροί εἰσιν, ὧν οἵ τε ἄξονες καὶ αἱ διάμετροι τῶν βάσεων ἀνάλογόν εἰσιν.

κε'. Κύβος ἐστὶ σχῆμα στερεὸν ὑπὸ ἓξ τετραγώνων ἴσων περιεχόμενον.

κς'. Ὀκτάεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ ὀκτὼ τριγώνων ἴσων καὶ ἰσοπλεύρων περιεχόμενον.

κζ'. Εἰκοσάεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ εἴκοσι τριγώνων ἴσων καὶ ἰσοπλεύρων περιεχόμενον.

κη'. Δωδεκάεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ δώδεκα πενταγώνων ἴσων καὶ ἰσοπλεύρων καὶ ἰσογωνίων περιεχόμενον.

τὴν διάμετρον αὐτοῦ μένουσαν ἀκίνητον ἐπανέλθῃ εἰς τὴν θέσιν, ἐξ ἧς ἤρχισε κινούμενον.

15. Ἄξων δὲ τῆς σφαίρας εἶναι ἡ ἀκίνητος εὐθεῖα, περὶ τὴν ὁποίαν τὸ ἡμικύκλιον στρέφεται.

16. Κέντρον δὲ τῆς σφαίρας εἶναι τὸ αὐτό, τὸ ὁποῖον εἶναι καὶ τοῦ ἡμικυκλίου.

17. Διάμετρος δὲ τῆς σφαίρας εἶναι εὐθεῖά τις διερχομένη διὰ τοῦ κέντρου καὶ περατουμένη κατὰ τὰ δύο μέρη ὑπὸ τῆς ἐπιφανείας τῆς σφαίρας.

18. Κῶνος εἶναι τὸ περιληφθὲν σχῆμα, ὅταν ὀρθογώνιον τρίγωνον περιστραφῇ περὶ μίαν τῶν καθέτων πλευρῶν μένουσαν ἀκίνητον καὶ ἐπανέλθῃ εἰς τὴν θέσιν, ἐξ ἧς ἤρχισε κινούμενον. Καὶ ἂν μὲν ἡ μένουσα ἀκίνητος κάθετος εἶναι ἴση πρὸς τὴν ἄλλην κάθετον, τὴν ἐκτελοῦσαν τὴν περιστροφήν, ὁ κῶνος θὰ εἶναι ὀρθογώνιος, ἐὰν δὲ μικροτέρα, ἀμβλυγώνιος, ἐὰν δὲ μεγαλυτέρα, ὀξυγώνιος.

19. Ἄξων δὲ τοῦ κώνου εἶναι ἡ μένουσα ἀκίνητος εὐθεῖα, περὶ τὴν ὁποίαν στρέφεται τὸ τρίγωνον.

20. Βάσις δὲ ὁ κύκλος ὁ γραφόμενος ὑπὸ τῆς περιστρεφομένης εὐθείας.

21. Κύλινδρος εἶναι τὸ περιληφθὲν σχῆμα, ὅταν ὀρθογώνιον παραλληλόγραμμον περιστραφὲν περὶ μίαν τῶν καθέτων πλευρῶν αὐτοῦ, μένουσαν ἀκίνητον, ἐπανέλθῃ εἰς τὴν θέσιν, ἐξ ἧς ἤρχισε κινούμενον.

22. Ἄξων δὲ τοῦ κυλίνδρου εἶναι ἡ μένουσα ἀκίνητος εὐθεῖα, περὶ τὴν ὁποίαν τὸ παραλληλόγραμμον στρέφεται.

23. Βάσεις δὲ οἱ κύκλοι οἱ γραφόμενοι ὑπὸ τῶν δύο ἀπέναντι κειμένων καὶ περιστρεφομένων πλευρῶν.

24. Ὅμοιοι κῶνοι καὶ κύλινδροι εἶναι ἐκεῖνοι, τῶν ὁποίων καὶ οἱ ἄξονες καὶ αἱ διάμετροι τῶν βάσεων εἶναι ἀνάλογοι.

25. Κύβος εἶναι στερεὸν σχῆμα περιεχόμενον ὑπὸ ἓξ ἴσων τετραγώνων.

26. Ὀκτάεδρον εἶναι στερεὸν σχῆμα περιεχόμενον ὑπὸ ὀκτὼ τριγώνων ἴσων καὶ ἰσοπλεύρων.

27. Εἰκοσάεδρον εἶναι στερεὸν σχῆμα περιεχόμενον ὑπὸ εἴκοσι τριγώνων ἴσων καὶ ἰσοπλεύρων.

28. Δωδεκάεδρον εἶναι στερεὸν σχῆμα περιεχόμενον ὑπὸ δώδεκα πενταγώνων ἴσων καὶ ἰσοπλεύρων καὶ ἰσογωνίων.

α'.

Εὐθείας γραμμῆς μέρος μέν τι οὐκ ἔστιν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μέρος δέ τι ἐν μετεωροτέρῳ.

Εἰ γὰρ δυνατόν, εὐθείας γραμμῆς τῆς ΑΒΓ μέρος μέν τι τὸ ΑΒ ἔστω ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μέρος δέ τι τὸ ΒΓ ἐν μετεωροτέρῳ.



Ἔσται δή τις τῇ ΑΒ συνεχὴς εὐθεῖα ἐπ' εὐθείας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ. ἔστω ἡ ΒΔ· δύο ἄρα εὐθειῶν τῶν ΑΒΓ, ΑΒΔ κοινὸν τμῆμά ἐστιν ἡ ΑΒ· ὅπερ ἐστὶν ἀδύνατον, ἐπειδήπερ ἐὰν κέντρῳ τῷ Β καὶ διαστήματι τῷ ΑΒ κύκλον γράψωμεν, αἱ διάμετροι ἀνίσους ἀπολήψονται τοῦ κύκλου περιφερείας.

Εὐθείας ἄρα γραμμῆς μέρος μέν τι οὐκ ἔστιν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ ἐν μετεωροτέρῳ· ὅπερ ἔδει δεῖξαι.

β'.

Ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, ἐν ἑνί εἰσιν ἐπιπέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΓΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε σημεῖον· λέγω, ὅτι αἱ ΑΒ, ΓΔ ἐν ἑνί εἰσιν ἐπιπέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ.

Εἰλήφθω γὰρ ἐπὶ τῶν ΕΓ, ΕΒ τυχόντα σημεῖα τὰ Ζ, Η, καὶ ἐπεζεύχθωσαν αἱ ΓΒ, ΖΗ, καὶ διήχθωσαν αἱ ΖΘ, ΗΚ· λέγω πρῶτον, ὅτι τὸ ΕΓΒ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. εἰ γάρ ἐστι τοῦ ΕΓΒ τριγώνου μέρος ἤτοι τὸ ΖΘΓ ἢ τὸ ΗΒΚ ἐν τῷ ὑποκειμένῳ [ἐπιπέδῳ], τὸ δὲ λοιπὸν ἐν ἄλλῳ, ἔσται καὶ μιᾶς τῶν ΕΓ, ΕΒ εὐθειῶν μέρος μέν τι ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ ἐν ἄλλῳ. εἰ δὲ τοῦ ΕΓΒ τριγώνου τὸ ΖΓΒΗ μέρος ᾖ ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ λοιπὸν ἐν ἄλλῳ, ἔσται καὶ ἀμφοτέρων τῶν ΕΓ, ΕΒ εὐθειῶν μέρος μέν τι ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ ἐν ἄλλῳ· ὅπερ ἄτοπον ἐδείχθη. τὸ ἄρα ΕΓΒ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. ἐν ᾧ δέ ἐστι τὸ ΕΓΒ τρίγωνον, ἐν τούτῳ καὶ ἑκατέρα τῶν ΕΓ, ΕΒ, ἐν ᾧ δὲ ἑκατέρα τῶν ΕΓ, ΕΒ, ἐν τούτῳ καὶ αἱ ΑΒ, ΓΔ. αἱ ΑΒ, ΓΔ ἄρα εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ· ὅπερ ἔδει δεῖξαι.



γ'.

Ἐὰν δύο ἐπίπεδα τέμνῃ ἄλληλα, ἡ κοινὴ αὐτῶν τομὴ εὐθεῖά ἐστιν.

Δύο γὰρ ἐπίπεδα τὰ ΑΒ, ΒΓ τεμνέτω ἄλληλα, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΔΒ γραμμή· λέγω, ὅτι ἡ ΔΒ γραμμὴ εὐθεῖά ἐστιν.

1.

Εὐθείας γραμμῆς μέρος μέν τι δὲν εὑρίσκεται ἐπὶ ἐπιπέδου, ἐφ' οὗ αὕτη κεῖται, καὶ μέρος τι ἐκτὸς αὐτοῦ.

Διότι ἐὰν εἶναι δυνατόν, τῆς εὐθείας γραμμῆς ΑΒΓ μέρος μέν τι τὸ ΑΒ ἔστω, ὅτι εὑρίσκεται ἐπὶ δοθέντος ἐπιπέδου, μέρος δέ τι τὸ ΒΓ ἐκτὸς αὐτοῦ.

Τῆς ΑΒ θὰ ὑπάρχῃ συνεχὴς εὐθεῖα κειμένη ἐπ' εὐθείας εἰς τὸ δοθὲν ἐπίπεδον. Ἔστω ἡ ΒΔ· δύο ἄρα εὐθειῶν τῶν ΑΒΓ, ΑΒΔ εἶναι κοινὸν τμῆμα ἡ ΑΒ· ὅπερ ἀδύνατον, ἐπειδή, ἐὰν μὲ κέντρον τὸ Β καὶ ἀκτῖνα τὴν ΑΒ γράψωμεν κύκλον, θὰ ἀντιστοιχῶσιν εἰς τὰς διαμέτρους ἄνισα τόξα.

Εὐθείας ἄρα γραμμῆς μέρος μέν τι δὲν εἶναι εἰς τὸ ἐπίπεδον, ἐφ' οὗ αὕτη κεῖται, καὶ μέρος τι ἐκτὸς αὐτοῦ· ὅπερ ἔδει δεῖξαι.

2.

Ἐὰν δύο εὐθεῖαι τέμνωνται, κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου, καὶ πᾶν τρίγωνον κεῖται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου.

Διότι δύο εὐθεῖαι αἱ ΑΒ, ΓΔ ἂς τέμνωνται κατὰ τὸ σημεῖον Ε· λέγω, ὅτι αἱ ΑΒ, ΓΔ κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου καὶ πᾶν τρίγωνον κεῖται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου.

Διότι ἂς ληφθῶσιν ἐπὶ τῶν ΕΓ, ΕΒ τυχόντα σημεῖα τὰ Ζ, Η καὶ ἂς ἀχθῶσιν αἱ ΓΒ, ΖΗ καὶ αἱ ΖΘ, ΗΚ· λέγω πρῶτον, ὅτι τὸ τρίγωνον ΕΓΒ κεῖται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου. Διότι ἐὰν τοῦ τριγώνου ΕΓΒ εἶναι μέρος ἢ τὸ ΖΘΓ ἢ τὸ ΗΒΚ ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου, τὸ δὲ ὑπόλοιπον ἐπὶ ἄλλου ἐπιπέδου, θὰ εἶναι καὶ μιᾶς τῶν εὐθειῶν ΕΓ, ΕΒ μέρος μέν τι ἐπὶ τοῦ δοθέντος ἐπιπέδου, μέρος δέ τι ἐπὶ ἄλλου. Ἐὰν δὲ τοῦ τριγώνου ΕΓΒ τὸ μέρος ΖΓΒΗ εὑρίσκεται ἐπὶ τοῦ δοθέντος ἐπιπέδου, τὸ δὲ ὑπόλοιπον ἐπὶ ἄλλου, θὰ εἶναι καὶ τῶν δύο εὐθειῶν τῶν ΕΓ, ΕΒ μέρος μέν τι εἰς τὸ δοθὲν ἐπίπεδον, μέρος δέ τι εἰς ἄλλο· ὅπερ ἐδείχθη ἀδύνατον (θ. 1). Τὸ τρίγωνον ἄρα ΕΓΒ κεῖται ἐπὶ ἑνὸς ἐπιπέδου. Εἰς τὸ ἐπίπεδον δέ, εἰς τὸ ὁποῖον εὑρίσκεται τὸ τρίγωνον ΕΓΒ, εἰς τοῦτο εὑρίσκεται καὶ ἑκάστη τῶν ΕΓ, ΕΒ, καὶ εἰς τὸ ἴδιον ἐπίπεδον εὑρίσκονται καὶ αἱ ΑΒ, ΓΔ, (θ. 1). Αἱ εὐθεῖαι ἄρα ΑΒ, ΓΔ εἶναι ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου, καὶ πᾶν τρίγωνον εἶναι ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου· ὅπερ ἔδει δεῖξαι.

3.

Ἐὰν δύο ἐπίπεδα τέμνωνται, ἡ κοινὴ αὐτῶν τομὴ εἶναι εὐθεῖα.

Διότι ἂς τέμνωνται δύο ἐπίπεδα τὰ ΑΒ, ΒΓ καὶ ἔστω κοινὴ τομὴ αὐτῶν ἡ γραμμὴ ΔΒ· λέγω, ὅτι ἡ γραμμὴ ΔΒ εἶναι εὐθεῖα.

Εἰ γὰρ μή, ἐπεζεύχθω ἀπὸ τοῦ Δ ἐπὶ τὸ Β ἐν μὲν τῷ ΑΒ ἐπιπέδῳ εὐθεῖα ἡ ΔΕΒ, ἐν δὲ τῷ ΒΓ ἐπιπέδῳ εὐθεῖα ἡ ΔΖΒ. ἔσται δὴ δύο εὐθειῶν τῶν ΔΕΒ, ΔΖΒ τὰ αὐτὰ πέρατα, καὶ περιέξουσι δηλαδὴ χωρίον· ὅπερ ἄτοπον. οὐκ ἄρα αἱ ΔΕΒ, ΔΖΒ εὐθεῖαί εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις ἀπὸ τοῦ Δ ἐπὶ τὸ Β ἐπιζευγνυμένη εὐθεῖα ἔσται πλὴν τῆς ΔΒ κοινῆς τομῆς τῶν ΑΒ, ΒΓ ἐπιπέδων.



Ἐὰν ἄρα δύο ἐπίπεδα τέμνῃ ἄλληλα, ἡ κοινὴ αὐτῶν τομὴ εὐθεῖά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

δ΄.

Ἐὰν εὐθεῖα δύο εὐθείαις τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπισταθῇ, καὶ τῷ δι᾽ αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Εὐθεῖα γάρ τις ἡ ΕΖ δύο εὐθείαις ταῖς ΑΒ, ΓΔ τεμνούσαις ἀλλήλας κατὰ τὸ Ε σημεῖον ἀπὸ τοῦ Ε πρὸς ὀρθὰς ἐφεστάτω· λέγω, ὅτι ἡ ΕΖ καὶ τῷ διὰ τῶν ΑΒ, ΓΔ ἐπιπέδῳ, πρὸς ὀρθάς ἐστιν.

Ἀπειλήφθωσαν γὰρ αἱ ΑΕ, ΕΒ, ΓΕ, ΕΔ ἴσαι ἀλλήλαις, καὶ διήχθω τις διὰ τοῦ Ε, ὡς ἔτυχεν, ἡ ΗΕΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΓΒ, καὶ ἔτι ἀπὸ τυχόντος τοῦ Ζ ἐπεζεύχθωσαν αἱ ΖΑ, ΖΗ, ΖΔ, ΖΓ, ΖΘ, ΖΒ. καὶ ἐπεὶ δύο αἱ ΑΕ, ΕΔ δυσὶ ταῖς ΓΕ, ΕΒ ἴσαι εἰσὶ καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΓΒ ἴση ἐστίν, καὶ τὸ ΑΕΔ τρίγωνον τῷ ΓΕΒ τριγώνῳ ἴσον ἔσται· ὥστε καὶ γωνία ἡ ὑπὸ ΔΑΕ γωνίᾳ τῇ ὑπὸ ΕΒΓ ἴση [ἐστίν]. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΕΗ γωνία τῇ ὑπὸ ΒΕΘ ἴση. δύο δὴ τρίγωνά ἐστι τὰ ΑΗΕ, ΒΕΘ τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν πρὸς ταῖς ἴσαις γωνίαις τὴν ΑΕ τῇ ΕΒ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν. ἴση ἄρα ἡ μὲν ΗΕ τῇ ΕΘ, ἡ δὲ ΑΗ τῇ ΒΘ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΒ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΖΕ, βάσις ἄρα ἡ ΖΑ βάσει τῇ ΖΒ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΖΓ τῇ ΖΔ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΓΒ, ἔστι δὲ καὶ ἡ ΖΑ τῇ ΖΒ ἴση, δύο δὴ αἱ ΖΑ, ΑΔ δυσὶ ταῖς ΖΒ, ΒΓ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ ΖΔ βάσει τῇ ΖΓ ἐδείχθη ἴση· καὶ γωνία ἄρα ἡ ὑπὸ ΖΑΔ γωνίᾳ τῇ ὑπὸ ΖΒΓ ἴση ἐστίν. καὶ ἐπεὶ πάλιν ἐδείχθη ἡ ΑΗ τῇ ΒΘ ἴση, ἀλλὰ μὴν καὶ ἡ ΖΑ τῇ ΖΒ ἴση, δύο δὴ αἱ ΖΑ, ΑΗ δυσὶ ταῖς ΖΒ, ΒΘ ἴσαι εἰσίν. καὶ γωνία ἡ ὑπὸ ΖΑΗ ἐδείχθη ἴση τῇ ὑπὸ ΖΒΘ· βάσις ἄρα ἡ ΖΗ βάσει τῇ ΖΘ ἐστιν ἴση. καὶ ἐπεὶ πάλιν ἴση ἐδείχθη ἡ ΗΕ τῇ ΕΘ, κοινὴ δὲ ἡ ΕΖ, δύο δὴ αἱ ΗΕ, ΕΖ δυσὶ ταῖς



Διότι ἐὰν δὲν εἶναι, ἂς ἀχθῇ ἀπὸ τοῦ Δ εἰς τὸ Β εἰς μὲν τὸ ἐπίπεδον ΑΒ ἡ εὐθεῖα ΔΕΒ (Ι αἴτ. 1), εἰς δὲ τὸ ἐπίπεδον ΒΓ ἡ εὐθεῖα ΔΖΒ. Θὰ ὑπάρχωσι τότε τῶν εὐθειῶν ΔΕΒ, ΔΖΒ τὰ αὐτὰ πέρατα, καὶ θὰ περιέχωσιν αὗται ἐπιφάνειαν· ὅπερ ἄτοπον (Ι αἴτ. 9). Δὲν εἶναι ἄρα εὐθεῖαι αἱ ΔΕΒ, ΔΖΒ. Ὁμοίως ἀποδεικνύομεν, ὅτι δὲν ὑπάρχει ἄλλη τις εὐθεῖα ἀπὸ τοῦ Δ πρὸς τὸ Β πλὴν τῆς ΔΒ κοινῆς τομῆς τῶν ἐπιπέδων ΑΒ, ΒΓ.

Ἐὰν ἄρα δύο ἐπίπεδα τέμνωνται, ἡ κοινὴ τομὴ αὐτῶν εἶναι εὐθεῖα· ὅπερ ἔδει δεῖξαι.

4.

Ἐὰν εὐθεῖα εἶναι κάθετος ἐπὶ τὸ κοινὸν σημεῖον τῆς τομῆς δύο εὐθειῶν, εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον αὐτῶν.

Διότι ἂς ὑψωθῇ εὐθεῖά τις ἡ ΕΖ κάθετος ἐπὶ τὰς τεμνομένας κατὰ τὸ σημεῖον Ε εὐθείας ΑΒ, ΓΔ, ἀπὸ τοῦ Ε· λέγω, ὅτι ἡ ΕΖ εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΑΒ, ΓΔ.

Διότι ἂς ληφθῶσιν αἱ ΑΕ, ΕΒ, ΓΕ, ΕΔ ἴσαι πρὸς ἀλλήλας καὶ ἂς ἀχθῇ διὰ τοῦ Ε τυχοῦσα ἡ ΗΕΘ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΔ, ΓΒ, καὶ ἀκόμη ἀπὸ τυχόντος τοῦ Ζ αἱ ΖΑ, ΖΗ, ΖΔ, ΖΓ, ΖΘ, ΖΒ. Καὶ ἐπειδὴ ΑΕ = ΕΔ καὶ ΓΕ = ΕΒ καὶ γωνία ΑΕΔ ἴση πρὸς γωνίαν ΓΕΒ, καὶ ἡ βάσις ἄρα ΑΔ εἶναι ἴση πρὸς τὴν βάσιν ΓΒ καὶ τὸ τρίγωνον ΑΕΔ = πρὸς τρίγωνον ΓΕΒ (Ι. 4). Ὥστε καὶ ἡ γωνία ΔΑΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΒΓ. Εἶναι δὲ καὶ ἡ γωνία ΑΕΗ ἴση πρὸς τὴν ΒΕΘ. Ὑπάρχουσι λοιπὸν δύο τρίγωνα τὰ ΑΗΕ, ΒΕΘ ἔχοντα δύο γωνίας ἴσας πρὸς δύο γωνίας καὶ μίαν πλευρὰν ἴσην πρὸς μίαν πλευράν, ἐκείνην ἐπὶ τῆς ὁποίας βαίνουσιν αἱ ἴσαι γωνίαι, τὴν ΑΕ πρὸς τὴν ΕΒ· θὰ ἔχωσιν ἄρα ἴσας καὶ τὰς λοιπὰς πλευρὰς πρὸς τὰς λοιπὰς ἀντιστοίχως (Ι. 26). Ἄρα ΗΕ = ΕΘ καὶ ΑΗ = ΒΘ. Καὶ ἐπειδὴ ΑΕ = ΕΒ καὶ ἡ ΖΕ εἶναι κοινὴ (τῶν τριγώνων ΑΕΖ, ΒΕΖ) καὶ κάθετος, ἡ βάσις ἄρα ΖΑ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΒ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΖΓ = ΖΔ. Καὶ ἐπειδὴ ΑΔ = ΓΒ, εἶναι δὲ καὶ ΖΑ = ΖΒ, αἱ δύο εὐθεῖαι ΖΑ, ΑΔ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο ΖΒ, ΒΓ· καὶ ἐδείχθη ἡ βάσις ΖΔ ἴση πρὸς τὴν βάσιν ΖΓ· καὶ ἡ γωνία ΖΑΔ εἶναι ἄρα ἴση πρὸς τὴν γωνίαν ΖΒΓ (Ι. 8). Καὶ ἐπειδὴ πάλιν ἐδείχθη ΑΗ = ΒΘ, ἀλλὰ καὶ ΖΑ = ΖΒ, αἱ δύο πλευραὶ ΖΑ, ΑΗ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο, τὰς ΖΒ, ΒΘ. Καὶ ἐδείχθη γωνία ΖΑΗ = ΖΒΘ· ἡ βάσις ἄρα ΖΗ = πρὸς βάσιν ΖΘ. Καὶ ἐπειδὴ πάλιν ἐδείχθη ΗΕ = ΕΘ, κοινὴ δὲ ἡ ΕΖ, αἱ δύο πλευραὶ ΗΕ, ΕΖ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο ΘΕ, ΕΖ· καὶ ἡ βάσις ΖΗ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΘ· ἡ γωνία ἄρα ΗΕΖ εἶναι ἴση πρὸς τὴν ΘΕΖ. Ἑκατέρα ἄρα τῶν ΗΕΖ, ΘΕΖ εἶναι ὀρθή. Ἡ ΖΕ

ΘΕ, ΕΖ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΖΗ βάσει τῇ ΖΘ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΘΕΖ ἴση ἐστίν. ὀρθὴ ἄρα ἑκατέρα τῶν ὑπὸ ΗΕΖ, ΘΕΖ γωνιῶν. ἡ ΖΕ ἄρα πρὸς τὴν ΗΘ τυχόντως διὰ τοῦ Ε ἀχθεῖσαν ὀρθή ἐστιν. ὁμοίως δὴ δείξομεν, ὅτι ἡ ΖΕ καὶ πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. εὐθεῖα δὲ πρὸς ἐπίπεδον ὀρθή ἐστιν, ὅταν πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὀρθὰς ποιῇ γωνίας· ἡ ΖΕ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. τὸ δὲ ὑποκείμενον ἐπίπεδόν ἐστι τὸ διὰ τῶν ΑΒ, ΓΔ εὐθειῶν. ἡ ΖΕ ἄρα πρὸς ὀρθάς ἐστι τῷ διὰ τῶν ΑΒ, ΓΔ ἐπιπέδῳ.

Ἐὰν ἄρα εὐθεῖα δύο εὐθείαις τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπισταθῇ, καὶ τῷ δι' αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· ὅπερ ἔδει δεῖξαι.

ε΄.

Ἐὰν εὐθεῖα τρισὶν εὐθείαις ἁπτομέναις ἀλλήλων πρὸς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπισταθῇ, αἱ τρεῖς εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τρισὶν εὐθείαις ταῖς ΒΓ, ΒΔ, ΒΕ πρὸς ὀρθὰς ἐπὶ τῆς κατὰ τὸ Β ἁφῆς ἐφεστάτω· λέγω, ὅτι αἱ ΒΓ, ΒΔ, ΒΕ ἐν ἑνί εἰσιν ἐπιπέδῳ.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστωσαν αἱ μὲν ΒΔ, ΒΕ ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, ἡ δὲ ΒΓ ἐν μετεωροτέρῳ, καὶ ἐκβεβλήσθω τὸ διὰ τῶν ΑΒ, ΒΓ ἐπίπεδον· κοινὴν δὴ τομὴν ποιήσει ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖαν. ποιείτω τὴν ΒΖ. ἐν ἑνὶ ἄρα εἰσὶν ἐπιπέδῳ τῷ διηγμένῳ διὰ τῶν ΑΒ, ΒΓ αἱ τρεῖς εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ΒΖ. καὶ ἐπεὶ ἡ ΑΒ ὀρθή ἐστι πρὸς ἑκατέραν τῶν ΒΔ, ΒΕ, καὶ τῷ διὰ τῶν ΒΔ, ΒΕ ἄρα ἐπιπέδῳ ὀρθή ἐστιν ἡ ΑΒ. τὸ δὲ διὰ τῶν ΒΔ, ΒΕ ἐπίπεδον τὸ ὑποκείμενόν ἐστιν· ἡ ΑΒ ἄρα ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ὥστε καὶ πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας ἡ ΑΒ. ἅπτεται δὲ αὐτῆς ἡ ΒΖ οὖσα ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ· ἡ ἄρα ὑπὸ ΑΒΖ γωνία ὀρθή ἐστιν. ὑπόκειται δὲ καὶ ἡ ὑπὸ ΑΒΓ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ ΑΒΖ γωνία τῇ ὑπὸ ΑΒΓ. καί εἰσιν ἐν ἑνὶ ἐπιπέδῳ· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ΒΓ εὐθεῖα ἐν μετεωροτέρῳ ἐστὶν ἐπιπέδῳ· αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ ΒΓ, ΒΔ, ΒΕ ἐν ἑνί εἰσιν ἐπιπέδῳ.



Ἐὰν ἄρα εὐθεῖα τρισὶν εὐθείαις ἁπτομέναις ἀλλήλων ἐπὶ τῆς ἁφῆς πρὸς ὀρθὰς ἐπισταθῇ, αἱ τρεῖς εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ· ὅπερ ἔδει δεῖξαι.

ἄρα εἶναι κάθετος πρὸς τὴν διὰ τοῦ Ε τυχόντως ἀχθεῖσαν ΗΘ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι ἡ ΖΕ εἶναι κάθετος ἐπὶ πάσας τὰς εὐθείας τὰς διερχομένας διὰ τοῦ ποδὸς αὐτῆς καὶ κειμένας εἰς τὸ δοθὲν ἐπίπεδον. Εὐθεῖα δὲ εἶναι κάθετος ἐπὶ ἐπίπεδον, ὅταν σχηματίζῃ ὀρθὰς γωνίας πρὸς πάσας τὰς εὐθείας τὰς διερχομένας διὰ τοῦ ποδός της καὶ κειμένας ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου· ἡ ΖΕ ἄρα εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον. Τὸ δὲ δοθὲν ἐπίπεδον εἶναι τῶν εὐθειῶν ΑΒ, ΓΔ. Ἡ ΖΕ ἄρα εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν εὐθειῶν ΑΒ, ΓΔ.

Ἐὰν ἄρα εὐθεῖα ἀχθῇ κάθετος ἐπὶ τὸ κοινὸν σημεῖον τῆς τομῆς δύο εὐθειῶν, θὰ εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον αὐτῶν· ὅπερ ἔδει δεῖξαι.

5.

Ἐὰν εὐθεῖα εἶναι κάθετος ἐπὶ τρεῖς εὐθείας ἁπτομένας ἀλλήλων, εἰς τὸ κοινὸν σημεῖον τῆς τομῆς, αἱ τρεῖς εὐθεῖαι κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου.

Διότι ἔστω ἡ εὐθεῖα ΑΒ κάθετος ἐπὶ τὰς τρεῖς εὐθείας ΒΓ, ΒΔ, ΒΕ εἰς τὸ σημεῖον τῆς ἁφῆς Β· λέγω, ὅτι αἱ ΒΓ, ΒΔ, ΒΕ κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου.

Διότι ἔστω ὅτι δὲν κεῖνται, ἀλλ' εἰ δυνατόν, ἔστωσαν αἱ μὲν ΒΔ, ΒΕ ἐπὶ τοῦ δοθέντος ἐπιπέδου, ἡ δὲ ΒΓ ἐκτὸς αὐτοῦ, καὶ ἂς προεκβληθῇ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ὁριζόμενον ἐπίπεδον· εἶναι φανερόν, ὅτι τοῦτο θὰ σχηματίσῃ πρὸς τὸ δοθὲν ἐπίπεδον κοινὴν τομήν, εὐθεῖαν γραμμὴν (θ. 3). Ἂς σχηματίσῃ τὴν ΒΖ. Αἱ τρεῖς εὐθεῖαι ἄρα αἱ ΑΒ, ΒΓ, ΒΖ κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου τῶν ΑΒ, ΒΓ. Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι κάθετος ἐπὶ ἑκατέραν τῶν ΒΔ, ΒΕ, εἶναι ἄρα κάθετος ἡ ΑΒ καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΒΔ, ΒΕ (θ. 4). Τὸ δὲ ἐπίπεδον τῶν ΒΔ, ΒΕ εἶναι τὸ δοθέν· ἡ ΑΒ ἄρα εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον. Ὥστε ἡ ΑΒ θὰ εἶναι κάθετος καὶ ἐπὶ πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ κειμένας ἐν τῷ δοθέντι ἐπιπέδῳ (ὁρ. 3). Ἅπτεται δὲ αὐτῆς ἡ ΒΖ εὑρισκομένη ἐπὶ τοῦ δοθέντος ἐπιπέδου· ἡ γωνία ἄρα ΑΒΖ εἶναι ὀρθή. Καθ' ὑπόθεσιν δὲ εἶναι καὶ ἡ ΑΒΓ ὀρθή· ἡ γωνία ΑΒΖ εἶναι ἄρα ἴση πρὸς τὴν γωνίαν ΑΒΓ. Καὶ εὑρίσκονται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου· ὅπερ ἀδύνατον. Δὲν εὑρίσκεται ἄρα ἡ ΒΓ ἐκτὸς τοῦ δοθέντος ἐπιπέδου· αἱ τρεῖς εὐθεῖαι ἄρα αἱ ΒΓ, ΒΔ, ΒΕ κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου.

Ἐὰν ἄρα εὐθεῖα εἶναι κάθετος ἐπὶ τρεῖς εὐθείας ἁπτομένας ἀλλήλων, εἰς τὸ σημεῖον τῆς ἁφῆς, αἱ τρεῖς εὐθεῖαι κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου· ὅπερ ἔδει δεῖξαι.

ς'.

Ἐὰν δύο εὐθεῖαι τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσιν, παράλληλοι ἔσονται αἱ εὐθεῖαι.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΓΔ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστωσαν· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.

Συμβαλλέτωσαν γὰρ τῷ ὑποκειμένῳ ἐπιπέδῳ κατὰ τὰ Β, Δ σημεῖα, καὶ ἐπεζεύχθω ἡ ΒΔ εὐθεῖα, καὶ ἤχθω τῇ ΒΔ πρὸς ὀρθὰς ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ἡ ΔΕ, καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΕ, ΑΕ, ΑΔ.



Καὶ ἐπεὶ ἡ ΑΒ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ πρὸς πάσας [ἄρα] τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ τῆς ΑΒ ἑκατέρα τῶν ΒΔ, ΒΕ οὖσα ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΑΒΔ, ΑΒΕ γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΓΔΒ, ΓΔΕ ὀρθή ἐστιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΔΕ, κοινὴ δὲ ἡ ΒΔ, δύο δὴ αἱ ΑΒ, ΒΔ δυσὶ ταῖς ΕΔ, ΔΒ ἴσαι εἰσίν· καὶ γωνίας ὀρθὰς περιέχουσιν· βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΒΕ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΔΕ, ἀλλὰ καὶ ἡ ΑΔ τῇ ΒΕ, δύο δὴ αἱ ΑΒ, ΒΕ δυσὶ ταῖς ΕΔ, ΔΑ ἴσαι εἰσίν· καὶ βάσις αὐτῶν κοινὴ ἡ ΑΕ· γωνία ἄρα ἡ ὑπὸ ΑΒΕ γωνίᾳ τῇ ὑπὸ ΕΔΑ ἐστιν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΑΒΕ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΕΔΑ· ἡ ΕΔ ἄρα πρὸς τὴν ΔΑ ὀρθή ἐστιν. ἔστι δὲ καὶ πρὸς ἑκατέραν τῶν ΒΔ, ΔΓ ὀρθή. ἡ ΕΔ ἄρα τρισὶν εὐθείαις ταῖς ΒΔ, ΔΑ, ΔΓ πρὸς ὀρθὰς ἐπὶ τῆς ἁφῆς ἐφέστηκεν· αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ ΒΔ, ΔΑ, ΔΓ ἐν ἑνί εἰσιν ἐπιπέδῳ. ἐν ᾧ δὲ αἱ ΔΒ, ΔΑ, ἐν τούτῳ καὶ ἡ ΑΒ· πᾶν γὰρ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ· αἱ ἄρα ΑΒ, ΒΔ, ΔΓ εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ. καί ἐστιν ὀρθὴ ἑκατέρα τῶν ὑπὸ ΑΒΔ, ΒΔΓ γωνιῶν· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.

Ἐὰν ἄρα δύο εὐθεῖαι τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσιν, παράλληλοι ἔσονται αἱ εὐθεῖαι· ὅπερ ἔδει δεῖξαι.

ζ'.

Ἐὰν ὦσι δύο εὐθεῖαι παράλληλοι, ληφθῇ δὲ ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐστὶ ταῖς παραλλήλοις.

Ἔστωσαν δύο εὐθεῖαι παράλληλοι αἱ ΑΒ, ΓΔ, καὶ εἰλήφθω ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα τὰ Ε, Ζ· λέγω, ὅτι ἡ ἐπὶ τὰ Ε, Ζ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐστὶ ταῖς παραλλήλοις.

6.

Ἐὰν δύο εὐθεῖαι εἶναι κάθετοι ἐπὶ τὸ αὐτὸ ἐπίπεδον, αἱ εὐθεῖαι εἶναι παράλληλοι.

Διότι ἔστωσαν δύο εὐθεῖαι αἱ ΑΒ, ΓΔ κάθετοι ἐπὶ τὸ δοθὲν ἐπίπεδον· λέγω, ὅτι ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Διότι ἔστωσαν τὰ σημεῖα ἀφῆς πρὸς τὸ δοθὲν ἐπίπεδον τὰ Β, Δ, καὶ ἂς ἀχθῇ ἡ εὐθεῖα ΒΔ καὶ ἐπ' αὐτὴν κάθετος κειμένη ἐπὶ τοῦ δοθέντος ἐπιπέδου ἡ ΔΕ καὶ ἂς ληφθῇ ΑΒ = ΔΕ καὶ ἂς ἀχθῶσιν αἱ ΒΕ, ΑΕ, ΑΔ.

Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον, θὰ εἶναι ἄρα κάθετος καὶ ἐπὶ πάσας τὰς εὐθείας τὰς ἀπτομένας αὐτῆς καὶ κειμένας ἐπὶ τοῦ δοθέντος ἐπιπέδου (ὁρ. 3). Ἅπτεται δὲ τῆς ΑΒ ἑκατέρα τῶν ΒΔ, ΒΕ εὑρισκομένη ἐν τῷ δοθέντι ἐπιπέδῳ· ἑκατέρα ἄρα τῶν γωνιῶν ΑΒΔ, ΑΒΕ εἶναι ὀρθή. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἑκατέρα τῶν γωνιῶν ΓΔΒ, ΓΔΕ εἶναι ὀρθή. Καὶ ἐπειδὴ ΑΒ = ΔΕ, κοινὴ δὲ ἡ ΒΔ, ὑπάρχουσι λοιπὸν δύο πλευραὶ αἱ ΑΒ, ΒΔ ἴσαι πρὸς τὰς ΕΔ, ΔΒ· καὶ περιέχουσιν ὀρθὰς γωνίας· ἡ βάσις ἄρα ΑΔ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΕ (Ι. 4). Καὶ ἐπειδὴ ΑΒ = ΔΕ καὶ ΑΔ = ΒΕ, ὑπάρχουσι δύο πλευραὶ αἱ ΑΒ, ΒΕ ἴσαι πρὸς τὰς ΕΔ, ΔΑ· καὶ ἡ βάσις τῶν τριγώνων ἡ ΑΕ εἶναι κοινή· ἡ γωνία ἄρα ΑΒΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΔΑ (Ι. 8). Εἶναι δὲ ὀρθὴ ἡ ΑΒΕ· ὀρθὴ ἄρα καὶ ἡ ΕΔΑ· ἡ ΕΔ ἄρα εἶναι κάθετος ἐπὶ τὴν ΔΑ. Εἶναι δὲ κάθετος καὶ ἐπὶ ἑκατέραν τῶν ΒΔ, ΔΓ. Ἡ ΕΔ ἄρα εἶναι κάθετος ἐπὶ τὰς τρεῖς εὐθείας τὰς ΒΔ, ΔΑ, ΔΓ εἰς τὸ σημεῖον τῆς ἀφῆς αὐτῶν· αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ ΒΔ, ΔΑ, ΔΓ κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου (θ. 5). Εἰς ὃ δὲ ἐπίπεδον κεῖνται αἱ ΔΒ, ΔΑ κεῖται καὶ ἡ ΑΒ· διότι πᾶν τρίγωνον κεῖται ἐν τῷ αὐτῷ ἐπιπέδῳ (θ. 2). Αἱ εὐθεῖαι ἄρα ΑΒ, ΒΔ, ΔΓ κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου. Καὶ εἶναι ὀρθὴ ἑκατέρα τῶν γωνιῶν ΑΒΔ, ΒΔΓ· ἡ ΑΒ ἄρα εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Ἐὰν ἄρα δύο εὐθεῖαι εἶναι κάθετοι ἐπὶ τὸ αὐτὸ ἐπίπεδον, αἱ εὐθεῖαι θὰ εἶναι παράλληλοι· ὅπερ ἔδει δεῖξαι.

7.

Ἐὰν δύο εὐθεῖαι εἶναι παράλληλοι, ληφθῶσι δὲ ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα, ἡ εὐθεῖα ἡ συνδέουσα τὰ σημεῖα κεῖται εἰς τὸ αὐτὸ ἐπίπεδον μὲ τὰς παραλλήλους.

Ἔστωσαν δύο εὐθεῖαι παράλληλοι αἱ ΑΒ, ΓΔ, καὶ ἂς ληφθῶσιν ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα τὰ Ε, Ζ· λέγω, ὅτι ἡ εὐθεῖα ἡ συνδέουσα τὰ Ε, Ζ κεῖται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου μὲ τὰς παραλλήλους.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω ἐν μετεωροτέρῳ ὡς ἡ ΕΗΖ, καὶ διήχθω διὰ τῆς ΕΗΖ ἐπίπεδον· τομὴν δὴ ποιήσει ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖαν. ποιείτω ὡς τὴν ΕΖ· δύο ἄρα εὐθεῖαι αἱ ΕΗΖ, ΕΖ χωρίον περιέξουσιν· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα ἐν μετεωροτέρῳ ἐστὶν ἐπιπέδῳ· ἐν τῷ διὰ τῶν ΑΒ, ΓΔ ἄρα παραλλήλων ἐστὶν ἐπιπέδῳ ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα.



Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι παράλληλοι, ληφθῇ δὲ ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐστὶ ταῖς παραλλήλοις· ὅπερ ἔδει δεῖξαι.

η΄.

Ἐὰν ὦσι δύο εὐθεῖαι παράλληλοι, ἡ δὲ ἑτέρα αὐτῶν ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ λοιπὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Ἔστωσαν δύο εὐθεῖαι παράλληλοι αἱ ΑΒ, ΓΔ, ἡ δὲ ἑτέρα αὐτῶν ἡ ΑΒ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστω· λέγω, ὅτι καὶ ἡ λοιπὴ ἡ ΓΔ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Συμβαλλέτωσαν γὰρ αἱ ΑΒ, ΓΔ τῷ ὑποκειμένῳ ἐπιπέδῳ κατὰ τὰ Β, Δ σημεῖα, καὶ ἐπεζεύχθω ἡ ΒΔ· αἱ ΑΒ, ΓΔ, ΒΔ ἄρα ἐν ἑνί εἰσιν ἐπιπέδῳ. ἤχθω τῇ ΒΔ πρὸς ὀρθὰς ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ἡ ΔΕ, καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΕ, ΑΕ, ΑΔ. καὶ ἐπεὶ ἡ ΑΒ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν ἡ ΑΒ· ὀρθὴ ἄρα [ἐστὶν] ἑκατέρα τῶν ὑπὸ ΑΒΔ, ΑΒΕ γωνιῶν. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπέπτωκεν ἡ ΒΔ, αἱ ἄρα ὑπὸ ΑΒΔ, ΓΔΒ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΑΒΔ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΓΔΒ· ἡ ΓΔ ἄρα πρὸς τὴν ΒΔ ὀρθή ἐστιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΔΕ, κοινὴ δὲ ἡ ΒΔ, δύο δὴ αἱ ΑΒ, ΒΔ δυσὶ ταῖς ΕΔ, ΔΒ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΑΒΔ γωνίᾳ τῇ ὑπὸ ΕΔΒ ἴση· ὀρθὴ γὰρ ἑκατέρα. βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΒΕ ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΒΕ τῇ ΑΔ, δύο δὴ αἱ ΑΒ, ΒΕ δυσὶ ταῖς ΕΔ, ΔΑ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ βάσις αὐτῶν κοινὴ ἡ ΑΕ· γωνία ἄρα ἡ ὑπὸ ΑΒΕ γωνίᾳ τῇ ὑπὸ ΕΔΑ ἐστιν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΑΒΕ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΕΔΑ· ἡ ΕΔ ἄρα πρὸς τὴν ΑΔ ὀρθή ἐστιν. ἔστι δὲ καὶ πρὸς τὴν ΔΒ ὀρθή. ἡ ΕΔ ἄρα καὶ τῷ διὰ τῶν ΒΔ, ΔΑ ἐπιπέδῳ ὀρθή ἐστιν, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας



Διότι ἔστω ὅτι δὲν κεῖται, καὶ ὅτι κεῖται ἐκτὸς τούτου ὡς ἡ ΕΗΖ, καὶ ἂς ἀχθῇ διὰ τῆς ΕΗΖ ἐπίπεδον· τοῦτο θὰ τάμῃ τὸ δοθὲν ἐπίπεδον τῶν (ΑΒ, ΓΔ) κατὰ γραμμὴν εὐθεῖαν (θ. 3). Ἔστω τὴν ΕΖ· αἱ δύο ἄρα εὐθεῖαι ΕΗΖ, ΕΖ θὰ περιέχωσιν ἐπιφάνειαν· ὅπερ ἀδύνατον· ἡ εὐθεῖα ἄρα ἡ ἀγομένη ἀπὸ τοῦ Ε εἰς τὸ Ζ δὲν θὰ κεῖται ἐκτὸς τοῦ ἐπιπέδου· θὰ κεῖται ἄρα ἡ εὐθεῖα ἡ ἀγομένη ἀπὸ τοῦ Ε εἰς τὸ Ζ ἐπὶ τοῦ ἐπιπέδου τῶν παραλλήλων ΑΒ, ΓΔ.

Ἐὰν ἄρα δύο εὐθεῖαι εἶναι παράλληλοι, ληφθῶσι δὲ ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα, ἡ εὐθεῖα ἡ συνδέουσα τὰ σημεῖα κεῖται εἰς τὸ αὐτὸ ἐπίπεδον μὲ τὰς παραλλήλους.

8.

Ἐὰν δύο εὐθεῖαι εἶναι παράλληλοι, ἡ δὲ μία ἐξ αὐτῶν εἶναι κάθετος ἐπὶ ἐπίπεδον, καὶ ἡ ἄλλη θὰ εἶναι κάθετος ἐπὶ τὸ αὐτὸ ἐπίπεδον.

Ἔστωσαν δύο εὐθεῖαι παράλληλοι αἱ ΑΒ, ΓΔ, ἡ δὲ μία ἐξ αὐτῶν ἡ ΑΒ ἔστω κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον· λέγω, ὅτι καὶ ἡ ἄλλη ἡ ΓΔ εἶναι κάθετος ἐπὶ τὸ αὐτὸ ἐπίπεδον.

Διότι ἔστω ὅτι αἱ ΑΒ, ΓΔ τέμνουσι τὸ δοθὲν ἐπίπεδον κατὰ τὰ σημεῖα Β, Δ, καὶ ἂς ἀχθῇ ἡ ΒΔ· αἱ ΑΒ, ΓΔ, ΒΔ ἄρα κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου (θ. 7). Ἂς ἀχθῇ ἡ ΔΕ κειμένη ἐπὶ τοῦ δοθέντος ἐπιπέδου κάθετος ἐπὶ τὴν ΒΔ, καὶ ἂς ληφθῇ ΑΒ = ΔΕ, καὶ ἂς ἀχθῶσιν αἱ ΒΕ, ΑΕ, ΑΔ. Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον, εἶναι ἄρα κάθετος καὶ ἐπὶ πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ κειμένας ἐπὶ τοῦ δοθέντος ἐπιπέδου· ἑκατέρα ἄρα τῶν γωνιῶν ΑΒΔ, ΑΒΕ εἶναι ὀρθή. Καὶ ἐπειδὴ αἱ παράλληλοι ΑΒ, ΓΔ τέμνονται ὑπὸ τῆς ΒΔ, αἱ γωνίαι ἄρα ΑΒΔ, ΓΔΒ ἰσοῦνται πρὸς δύο ὀρθὰς (Ι. 29). Εἶναι δὲ ὀρθὴ ἡ ΑΒΔ· καὶ ἡ ΓΔΒ ἄρα εἶναι ὀρθή· ἡ ΓΔ ἄρα εἶναι κάθετος ἐπὶ τὴν ΒΔ. Καὶ ἐπειδὴ ΑΒ = ΔΕ, κοινὴ δὲ ἡ ΒΔ, ὑπάρχουσι δύο πλευραὶ αἱ ΑΒ, ΒΔ ἀντιστοίχως ἴσαι πρὸς τὰς ΕΔ, ΔΒ· καὶ ἡ γωνία ΑΒΔ εἶναι ἴση πρὸς τὴν ΕΔΒ· διότι ἑκατέρα εἶναι ὀρθή· ἡ βάσις ἄρα ΑΔ (τοῦ τριγώνου ΑΒΔ) εἶναι ἴση πρὸς τὴν βάσιν ΒΕ (τριγ. ΒΔΕ). Καὶ ἐπειδὴ ΑΒ = ΔΕ καὶ ΒΕ = ΑΔ, ὑπάρχουσι δύο πλευραὶ αἱ ΑΒ, ΒΕ ἀντιστοίχως ἴσαι πρὸς τὰς ΕΔ, ΔΑ. Καὶ ἡ βάσις αὐτῶν ἡ ΑΕ εἶναι κοινή· ἡ γωνία ἄρα ΑΒΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΔΑ. Εἶναι δὲ ὀρθὴ ἡ ΑΒΕ· ὀρθὴ ἄρα καὶ ἡ ΕΔΑ· ἡ ΕΔ ἄρα εἶναι κάθετος ἐπὶ τὴν ΑΔ. Εἶναι δὲ κάθετος καὶ ἐπὶ τὴν ΔΒ · ἡ ΕΔ ἄρα εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΒΔ, ΔΑ (θ. 4). Ἡ ΕΔ ἄρα θὰ εἶναι κάθετος καὶ ἐπὶ πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ κειμένας ἐπὶ τοῦ ἐπιπέδου ΒΔΑ. Εἰς δὲ τὸ ἐπίπεδον ΒΔΑ κεῖται ἡ ΔΓ, ἐπειδὴ εἰς τὸ ἐπίπεδον *καὶ οὔσας ἐν τῷ διὰ τῶν ΒΔΑ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας ἡ ΕΔ. ἐν δὲ τῷ διὰ τῶν ΒΔΑ ἐπιπέδῳ ἐστὶν ἡ ΔΓ, ἐπειδήπερ ἐν τῷ διὰ τῶν ΒΔΑ ἐπιπέδῳ εἰσὶν αἱ ΑΒ, ΒΔ, ἐν ᾧ δὲ αἱ ΑΒ, ΒΔ, ἐν τούτῳ ἐστὶ καὶ ἡ ΔΓ. ἡ ΕΔ ἄρα τῇ ΔΓ πρὸς ὀρθάς ἐστιν· ὥστε καὶ ἡ ΓΔ τῇ ΔΕ πρὸς ὀρθάς ἐστιν. ἔστι δὲ καὶ ἡ ΓΔ τῇ ΒΔ πρὸς ὀρθάς. ἡ ΓΔ ἄρα δύο εὐθείαις τεμνούσαις ἀλλήλας ταῖς ΔΕ, ΔΒ ἀπὸ τῆς κατὰ τὸ Δ τομῆς πρὸς ὀρθὰς ἐφέστηκεν· ὥστε ἡ ΓΔ καὶ τῷ διὰ τῶν ΔΕ, ΔΒ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. τὸ δὲ διὰ τῶν ΔΕ, ΔΒ ἐπίπεδον τὸ ὑποκείμενόν ἐστιν· ἡ ΓΔ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.*

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι παράλληλοι, ἡ δὲ μία αὐτῶν ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ λοιπὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· ὅπερ ἔδει δεῖξαι.

θ'.

Αἱ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι καὶ μὴ οὖσαι αὐτῇ ἐν τῷ αὐτῷ ἐπιπέδῳ καὶ ἀλλήλαις εἰσὶ παράλληλοι.

Ἔστω γὰρ ἑκατέρα τῶν ΑΒ, ΓΔ τῇ ΕΖ παράλληλος μὴ οὖσαι αὐτῇ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.

Εἰλήφθω γὰρ ἐπὶ τῆς ΕΖ τυχὸν σημεῖον τὸ Η, καὶ ἀπ' αὐτοῦ τῇ ΕΖ ἐν μὲν τῷ διὰ τῶν ΕΖ, ΑΒ ἐπιπέδῳ πρὸς ὀρθὰς ἤχθω ἡ ΗΘ, ἐν δὲ τῷ διὰ τῶν ΖΕ, ΓΔ τῇ ΕΖ πάλιν πρὸς ὀρθὰς ἤχθω ἡ ΗΚ. καὶ ἐπεὶ ἡ ΕΖ πρὸς ἑκατέραν τῶν ΗΘ, ΗΚ ὀρθή ἐστιν, ἡ ΕΖ ἄρα καὶ τῷ διὰ τῶν ΗΘ, ΗΚ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. καί ἐστιν ἡ ΕΖ τῇ ΑΒ παράλληλος· καὶ ἡ ΑΒ ἄρα τῷ διὰ τῶν ΘΗΚ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΔ τῷ διὰ τῶν ΘΗΚ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἑκατέρα ἄρα τῶν ΑΒ, ΓΔ τῷ διὰ τῶν ΘΗΚ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. ἐὰν δὲ δύο εὐθεῖαι τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσιν, παράλληλοί εἰσιν αἱ εὐθεῖαι· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ· ὅπερ ἔδει δεῖξαι.



ι'.

Ἐὰν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἴσας γωνίας περιέξουσιν.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΒΓ ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας τὰς ΔΕ, ΕΖ ἁπτομένας ἀλλήλων ἔστωσαν μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· λέγω, ὅτι ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ.

ΒΔΑ κεῖνται αἱ ΑΒ, ΒΔ, εἰς τὸ ἐπίπεδον δὲ τῶν ΑΒ, ΒΔ κεῖται καὶ ἡ ΔΓ. Ἡ ΕΔ ἄρα εἶναι κάθετος ἐπὶ τὴν ΔΓ· ὥστε καὶ ἡ ΓΔ εἶναι κάθετος ἐπὶ τὴν ΔΕ. Εἶναι δὲ καὶ ἡ ΓΔ κάθετος ἐπὶ τὴν ΒΔ. Ἡ ΓΔ ἄρα εἶναι κάθετος εἰς τὸ σημεῖον τομῆς δύο εὐθειῶν τῶν ΔΕ, ΔΒ· ὥστε ἡ ΓΔ εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΔΕ, ΔΒ (θ. 4). Τὸ δὲ ἐπίπεδον τῶν ΔΕ, ΔΒ εἶναι τὸ δοθέν· ἡ ΓΔ ἄρα εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Ἐὰν ἄρα δύο εὐθεῖαι εἶναι παράλληλοι, ἡ δὲ μία εἶναι κάθετος ἐπὶ ἐπίπεδον, καὶ ἡ ἄλλη θὰ εἶναι κάθετος ἐπὶ τὸ αὐτὸ ἐπίπεδον· ὅπερ ἔδει δεῖξαι.

9.

Αἱ παράλληλοι πρὸς τὴν αὐτὴν εὐθεῖαν καὶ μὴ κείμεναι μὲ αὐτὴν ἐν τῷ αὐτῷ ἐπιπέδῳ εἶναι καὶ πρὸς ἀλλήλας παράλληλοι.

Διότι ἔστω ἑκατέρα τῶν ΑΒ, ΓΔ παράλληλος πρὸς τὴν ΕΖ μὴ κείμεναι μὲ αὐτὴν ἐν τῷ αὐτῷ ἐπιπέδῳ· λέγω, ὅτι ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Διότι ἂς ληφθῇ ἐπὶ τῆς ΕΖ τυχὸν σημεῖον τὸ Η καὶ ἀπ' αὐτοῦ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΕΖ ἡ ΗΘ, κειμένη ἐπὶ τοῦ ἐπιπέδου τῶν ΕΖ, ΑΒ, ἡ δὲ ΗΚ ἂς ἀχθῇ πάλιν κάθετος (ἐπὶ τὴν ΕΖ) κειμένη ἐπὶ τοῦ ἐπιπέδου ΖΕ, ΓΔ. Καὶ ἐπειδὴ ἡ ΕΖ εἶναι κάθετος ἐφ' ἑκατέραν τῶν ΗΘ, ΗΚ, ἡ ΕΖ ἄρα εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΗΘ, ΗΚ (θ. 4). Καὶ εἶναι ἡ ΕΖ παράλληλος πρὸς τὴν ΑΒ· καὶ ἡ ΑΒ ἄρα εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΘΗΚ (θ. 8). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΓΔ εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΘΗΚ· ἑκατέρα ἄρα τῶν ΑΒ, ΓΔ εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΘΗΚ. Ἐὰν δὲ δύο εὐθεῖαι εἶναι κάθετοι ἐπὶ τὸ αὐτὸ ἐπίπεδον, αἱ εὐθεῖαι εἶναι παράλληλοι (θ. 6). Ἡ ΑΒ ἄρα εἶναι παράλληλος πρὸς τὴν ΓΔ· ὅπερ ἔδει δεῖξαι.

10.

Ἐὰν δύο εὐθεῖαι τεμνόμεναι εἶναι παράλληλοι πρὸς δύο εὐθείας τεμνομένας μὴ κειμένας ἐν τῷ αὐτῷ ἐπιπέδῳ, θὰ περιέχωσι γωνίας ἴσας.

Διότι δύο εὐθεῖαι τεμνόμεναι αἱ ΑΒ, ΒΓ ἂς εἶναι παράλληλοι πρὸς τὰς ΔΕ, ΕΖ καὶ ἂς μὴ κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου· λέγω, ὅτι ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΕΖ.

Ἀπειλήφθωσαν γὰρ αἱ ΒΑ, ΒΓ, ΕΔ, ΕΖ ἴσαι ἀλλήλαις, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΓΖ, ΒΕ, ΑΓ, ΔΖ. καὶ ἐπεὶ ἡ ΒΑ τῇ ΕΔ ἴση ἐστὶ καὶ παράλληλος, καὶ ἡ ΑΔ ἄρα τῇ ΒΕ ἴση ἐστὶ καὶ παράλληλος. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΖ τῇ ΒΕ ἴση ἐστὶ καὶ παράλληλος· ἑκατέρα ἄρα τῶν ΑΔ, ΓΖ τῇ ΒΕ ἴση ἐστὶ καὶ παράλληλος. αἱ δὲ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι καὶ μὴ οὖσαι αὐτῇ ἐν τῷ αὐτῷ ἐπιπέδῳ καὶ ἀλλήλαις εἰσὶ παράλληλοι· παράλληλος ἄρα ἐστὶν ἡ ΑΔ τῇ ΓΖ καὶ ἴση. καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ ΑΓ, ΔΖ· καὶ ἡ ΑΓ ἄρα τῇ ΔΖ ἴση ἐστὶ καὶ παράλληλος. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση, γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση.



Ἐὰν ἄρα δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἴσας γωνίας περιέξουσιν· ὅπερ ἔδει δεῖξαι.

ια΄.

Ἀπὸ τοῦ δοθέντος σημείου μετεώρου ἐπὶ τὸ δοθὲν ἐπίπεδον κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Ἔστω τὸ μὲν δοθὲν σημεῖον μετέωρον τὸ Α, τὸ δὲ δοθὲν ἐπίπεδον τὸ ὑποκείμενον· δεῖ δὴ ἀπὸ τοῦ Α σημείου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Διήχθω γάρ τις ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖα, ὡς ἔτυχεν, ἡ ΒΓ, καὶ ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ. εἰ μὲν οὖν ἡ ΑΔ κάθετός ἐστι καὶ ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν. εἰ δὲ οὔ, ἤχθω ἀπὸ τοῦ Δ σημείου τῇ ΒΓ ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΔΕ, καὶ ἤχθω ἀπὸ τοῦ Α ἐπὶ τὴν ΔΕ κάθετος ἡ ΑΖ, καὶ διὰ τοῦ Ζ σημείου τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΗΘ.



Καὶ ἐπεὶ ἡ ΒΓ ἑκατέρᾳ τῶν ΔΑ, ΔΕ πρὸς ὀρθάς ἐστιν, ἡ ΒΓ ἄρα καὶ τῷ διὰ τῶν ΕΔΑ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. καί ἐστιν αὐτῇ παράλληλος ἡ ΗΘ· ἐὰν δὲ ὦσι δύο εὐθεῖαι παράλληλοι, ἡ δὲ μία αὐτῶν ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ λοιπὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· καὶ ἡ ΗΘ ἄρα τῷ διὰ τῶν ΕΔ, ΔΑ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ διὰ τῶν ΕΔ, ΔΑ ἐπιπέδῳ ὀρθή ἐστιν ἡ ΗΘ. ἅπτεται δὲ αὐτῆς ἡ ΑΖ οὖσα ἐν τῷ διὰ τῶν ΕΔ, ΔΑ ἐπιπέδῳ· ἡ ΗΘ ἄρα ὀρθή ἐστι πρὸς τὴν ΖΑ· ὥστε καὶ ἡ ΖΑ ὀρθή ἐστι πρὸς τὴν ΘΗ. ἔστι δὲ ἡ ΑΖ καὶ πρὸς τὴν ΔΕ ὀρθή· ἡ ΑΖ ἄρα πρὸς ἑκατέραν τῶν ΗΘ, ΔΕ ὀρθή ἐστιν·

Διότι ἂς ληφθῶσιν αἱ ΒΑ = ΒΓ = ΕΔ = ΕΖ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΔ, ΓΖ, ΒΕ, ΑΓ, ΔΖ. Καὶ ἐπειδὴ ἡ ΒΑ εἶναι ἴση καὶ παράλληλος πρὸς τὴν ΕΔ, καὶ ἡ ΑΔ ἄρα εἶναι ἴση καὶ παράλληλος πρὸς τὴν ΒΕ (Ι. 33). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΓΖ εἶναι ἴση καὶ παράλληλος πρὸς τὴν ΒΕ· ἑκατέρα ἄρα τῶν ΑΔ, ΓΖ εἶναι ἴση καὶ παράλληλος πρὸς τὴν ΒΕ. Αἱ δὲ πρὸς τὴν αὐτὴν εὐθεῖαν παράλληλοι καὶ μὴ κείμεναι ἐν τῷ αὐτῷ ἐπιπέδῳ μὲ τὴν εὐθεῖαν εἶναι πρὸς ἀλλήλας παράλληλοι (θ. 9)· ἡ ΑΔ ἄρα εἶναι παράλληλος καὶ ἴση πρὸς τὴν ΓΖ· καὶ συνδέουσιν αὐτὰς αἱ ΑΓ, ΔΖ· καὶ ἡ ΑΓ ἄρα εἶναι ἴση καὶ παράλληλος πρὸς τὴν ΔΖ. Καὶ ἐπειδὴ ὑπάρχουσι δύο πλευραὶ αἱ ΑΒ, ΒΓ ἴσαι ἀντιστοίχως πρὸς τὰς δύο πλευρὰς ΔΕ, ΕΖ καὶ ἡ βάσις ΑΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΖ, ἡ γωνία ἄρα ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΕΖ.

Ἐὰν ἄρα δύο εὐθεῖαι τεμνόμεναι εἶναι παράλληλοι πρὸς δύο εὐθείας τεμνομένας μὴ κειμένας ἐν τῷ αὐτῷ ἐπιπέδῳ, θὰ περιέχωσι γωνίας ἴσας· ὅπερ ἔδει δεῖξαι.

11.

Ἀπὸ τοῦ δοθέντος σημείου ἐκτὸς τοῦ ἐπιπέδου νὰ ἀχθῇ εὐθεῖα γραμμὴ κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Ἔστω τὸ μὲν δοθὲν ἐκτὸς τοῦ ἐπιπέδου σημεῖον τὸ Α, τὸ δὲ δοθὲν ἐπίπεδον τὸ ὑποκείμενον· πρέπει νὰ ἀχθῇ ἀπὸ τοῦ σημείου Α εὐθεῖα γραμμὴ κάθετος ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον.

Διότι ἂς ἀχθῇ τυχοῦσα εὐθεῖα εἰς τὸ ὑποκείμενον ἐπίπεδον, ἡ ΒΓ, καὶ ἀπὸ τοῦ σημείου Α ἂς ἀχθῇ ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ (Ι. 12). Ἐὰν μὲν λοιπὸν ἡ ΑΔ εἶναι κάθετος καὶ ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον, τὸ ἐπιταχθὲν εἶναι γεγονός. Ἐὰν δὲ ὄχι, ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Δ κάθετος ἐπὶ τὴν ΒΓ, ἡ ΔΕ (Ι. 11), κειμένη εἰς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΔΕ κάθετος ἡ ΑΖ καὶ διὰ τοῦ σημείου Ζ ἂς ἀχθῇ παράλληλος πρὸς τὴν ΒΓ ἡ ΗΘ (Ι. 31).

Καὶ ἐπειδὴ ἡ ΒΓ εἶναι κάθετος ἐφ' ἑκατέραν τῶν ΔΑ, ΔΕ, ἡ ΒΓ ἄρα εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΕΔΑ (θ. 4). Καὶ εἶναι παράλληλος πρὸς αὐτὴν ἡ ΗΘ· ἐὰν δὲ ὑπάρχωσι δύο εὐθεῖαι παράλληλοι, ἡ δὲ μία ἐξ αὐτῶν εἶναι κάθετος ἐπὶ ἐπίπεδόν τι, καὶ ἡ ἄλλη θὰ εἶναι κάθετος ἐπὶ τὸ αὐτὸ ἐπίπεδον (θ. 8)· καὶ ἡ ΗΘ ἄρα εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΕΔ, ΔΑ. Ἄρα εἶναι κάθετος ἡ ΗΘ καὶ πρὸς πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ κειμένας ἐν τῷ ἐπιπέδῳ τῶν ΕΔ, ΔΑ. Ἅπτεται δὲ αὐτῆς ἡ ΑΖ κειμένη ἐν τῷ ἐπιπέδῳ τῶν ΕΔ, ΔΑ· ἡ ΗΘ ἄρα εἶναι κάθετος ἐπὶ τὴν ΖΑ· ὥστε καὶ ἡ ΖΑ εἶναι κάθετος ἐπὶ τὴν ΘΗ· εἶναι δὲ ἡ ΑΖ κάθετος καὶ ἐπὶ τὴν ΔΕ· ἡ ΑΖ ἐὰν δὲ εὐθεῖα δυσὶν εὐθείαις τεμνούσαις ἀλλήλας ἐπὶ τῆς τομῆς πρὸς ὀρθὰς ἐπισταθῇ, καὶ τῷ δι' αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· ἡ ΖΑ ἄρα τῷ διὰ τῶν ΕΔ, ΗΘ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. τὸ δὲ διὰ τῶν ΕΔ, ΗΘ ἐπίπεδόν ἐστι τὸ ὑποκείμενον· ἡ ΑΖ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

Ἀπὸ τοῦ ἄρα δοθέντος σημείου μετεώρου τοῦ Α ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος εὐθεῖα γραμμὴ ἦκται ἡ ΑΖ· ὅπερ ἔδει ποιῆσαι.

ιβ΄.

Τῷ δοθέντι ἐπιπέδῳ ἀπὸ τοῦ πρὸς αὐτῷ δοθέντος σημείου πρὸς ὀρθὰς εὐθεῖαν γραμμὴν ἀναστῆσαι.

Ἔστω τὸ μὲν δοθὲν ἐπίπεδον τὸ ὑποκείμενον, τὸ δὲ πρὸς αὐτῷ σημεῖον τὸ Α· δεῖ δὴ ἀπὸ τοῦ Α σημείου τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς εὐθεῖαν γραμμὴν ἀναστῆσαι.



Νενοήσθω τι σημεῖον μετέωρον τὸ Β, καὶ ἀπὸ τοῦ Β ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἤχθω ἡ ΒΓ, καὶ διὰ τοῦ Α σημείου τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΑΔ.

Ἐπεὶ οὖν δύο εὐθεῖαι παράλληλοί εἰσιν αἱ ΑΔ, ΓΒ, ἡ δὲ μία αὐτῶν ἡ ΒΓ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, καὶ ἡ λοιπὴ ἄρα ἡ ΑΔ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

Τῷ ἄρα δοθέντι ἐπιπέδῳ ἀπὸ τοῦ πρὸς αὐτῷ σημείου τοῦ Α πρὸς ὀρθὰς ἀνέσταται ἡ ΑΔ· ὅπερ ἔδει ποιῆσαι.

ιγ΄.

Ἀπὸ τοῦ αὐτοῦ σημείου τῷ αὐτῷ ἐπιπέδῳ δύο εὐθεῖαι πρὸς ὀρθὰς οὐκ ἀναστήσονται ἐπὶ τὰ αὐτὰ μέρη.

Εἰ γὰρ δυνατόν, ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ Α τῷ ὑποκειμένῳ ἐπιπέδῳ δύο εὐθεῖαι αἱ ΑΒ, ΑΓ πρὸς ὀρθὰς ἀνεστάτωσαν ἐπὶ τὰ αὐτὰ μέρη, καὶ διήχθω τὸ διὰ τῶν ΒΑ, ΑΓ ἐπίπεδον· τομὴν δὴ ποιήσει διὰ τοῦ Α ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ εὐθεῖαν. ποιείτω τὴν ΔΑΕ· αἱ ἄρα ΑΒ, ΑΓ, ΔΑΕ εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ. καὶ ἐπεὶ ἡ ΓΑ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ αὐτῆς ἡ ΔΑΕ οὖσα ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ· ἡ ἄρα ὑπὸ ΓΑΕ γωνία ὀρθή ἐστιν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΒΑΕ ὀρθή ἐστιν· ἴση ἄρα ἡ ὑπὸ ΓΑΕ τῇ ὑπὸ ΒΑΕ. καί εἰσιν ἐν ἑνὶ ἐπιπέδῳ· ὅπερ ἐστὶν ἀδύνατον.



Οὐκ ἄρα ἀπὸ τοῦ αὐτοῦ σημείου τῷ αὐτῷ ἐπιπέδῳ δύο εὐθεῖαι πρὸς ὀρθὰς ἀνασταθήσονται ἐπὶ τὰ αὐτὰ μέρη· ὅπερ ἔδει δεῖξαι.

ἄρα εἶναι κάθετος ἐφ' ἑκατέραν τῶν ΗΘ, ΔΕ. Ἐὰν δὲ εὐθεῖα εἶναι κάθετος ἐπὶ δύο τεμνομένας εὐθείας εἰς τὸ σημεῖον τῆς τομῆς, θὰ εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον αὐτῶν (θ. 4)· ἡ ΖΑ ἄρα εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΕΔ, ΗΘ. Τὸ ἐπίπεδον δὲ τῶν ΕΔ, ΗΘ εἶναι τὸ δοθέν· ἡ ΑΖ ἄρα εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Ἀπὸ δοθέντος ἄρα σημείου ἐκτὸς τοῦ ἐπιπέδου ἤχθη εὐθεῖα γραμμὴ κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον ἡ ΑΖ· ὅπερ ἔδει ποιῆσαι.

12.

Νὰ ὑψωθῇ κάθετος ἐπὶ δοθὲν ἐπίπεδον ἐκ σημείου κειμένου ἐν τῷ ἐπιπέδῳ.

Ἔστω τὸ μὲν δοθὲν ἐπίπεδον τὸ ὑποκείμενον, τὸ δὲ ἐπ' αὐτοῦ σημεῖον τὸ Α· πρέπει ἀπὸ τοῦ σημείου Α νὰ ὑψωθῇ εὐθεῖα γραμμὴ κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Ἂς θεωρηθῇ σημεῖόν τι Β ἐκτὸς τοῦ ἐπιπέδου, καὶ ἀπὸ τοῦ Β ἂς ἀχθῇ κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον ἡ ΒΓ, καὶ διὰ τοῦ σημείου Α ἂς ἀχθῇ παράλληλος πρὸς τὴν ΒΓ, ἡ ΑΔ.

Ἐπειδὴ λοιπὸν ὑπάρχουσι δύο εὐθεῖαι παράλληλοι αἱ ΑΔ, ΓΒ, ἡ δὲ μία ἐξ αὐτῶν ἡ ΒΓ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον, καὶ ἡ ἄλλη ἄρα ἡ ΑΔ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Ἐπὶ τὸ δοθὲν ἄρα ἐπίπεδον ὑψώθη κάθετος ἐκ τοῦ ἀπ' αὐτοῦ σημείου τοῦ Α, ἡ ΑΔ· ὅπερ ἔδει ποιῆσαι.

13.

Ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ ἐπιπέδου δὲν εἶναι δυνατὸν νὰ ὑψωθῶσι δύο κάθετοι ἐπὶ τὸ ἐπίπεδον ἐπὶ τὰ αὐτὰ μέρη.

Διότι ἐὰν εἶναι δυνατόν, ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ Α ἂς ὑψωθῶσι δύο κάθετοι ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον ἐπὶ τὰ αὐτὰ μέρη τοῦ ἐπιπέδου, αἱ ΑΒ, ΑΓ, καὶ ἂς ἀχθῇ τὸ ἐπίπεδον τῶν ΒΑ, ΑΓ· τοῦτο θὰ τάμῃ τὸ δοθὲν ἐπίπεδον κατὰ γραμμὴν εὐθεῖαν διερχομένην διὰ τοῦ Α (θ. 3). Ἔστω τὴν ΔΑΕ· αἱ εὐθεῖαι ἄρα ΑΒ, ΑΓ, ΔΑΕ κεῖνται ἐπὶ ἑνὸς ἐπιπέδου. Καὶ ἐπειδὴ ἡ ΓΑ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον, εἶναι ἄρα κάθετος καὶ ἐπὶ πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ κειμένας ἐπὶ τοῦ δοθέντος ἐπιπέδου (ὁρ. 3). Ἅπτεται δὲ αὐτῆς ἡ ΔΑΕ κειμένη ἐπὶ τοῦ δοθέντος ἐπιπέδου· ἡ γωνία ἄρα ΓΑΕ εἶναι ὀρθή. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ γωνία ΒΑΕ εἶναι ὀρθή· ἡ γωνία ἄρα ΓΑΕ εἶναι ἴση πρὸς τὴν ΒΑΕ. Καὶ εὑρίσκονται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου· ὅπερ ἀδύνατον.

Δὲν θὰ ὑψωθῶσιν ἄρα ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ ἐπιπέδου δύο κάθετοι ἐπὶ τὸ ἐπίπεδον κείμεναι ἐπὶ τὰ αὐτὰ μέρη· ὅπερ ἔδει δεῖξαι.

ιδ'.

Πρὸς ἃ ἐπίπεδα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστιν, παράλληλα ἔσται τὰ ἐπίπεδα.

Εὐθεῖα γάρ τις ἡ ΑΒ πρὸς ἑκάτερον τῶν ΓΔ, ΕΖ ἐπιπέδων πρὸς ὀρθὰς ἔστω· λέγω, ὅτι παράλληλά ἐστι τὰ ἐπίπεδα.

Εἰ γὰρ μή, ἐκβαλλόμενα συμπεσοῦνται. συμπιπτέτωσαν· ποιήσουσι δὴ κοινὴν τομὴν εὐθεῖαν. ποιείτωσαν τὴν ΗΘ, καὶ εἰλήφθω ἐπὶ τῆς ΗΘ τυχὸν σημεῖον τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΚ, ΒΚ. καὶ ἐπεὶ ἡ ΑΒ ὀρθή ἐστι πρὸς τὸ ΕΖ ἐπίπεδον, καὶ πρὸς τὴν ΒΚ ἄρα εὐθεῖαν οὖσαν ἐν τῷ ΕΖ ἐκβληθέντι ἐπιπέδῳ ὀρθή ἐστιν ἡ ΑΒ· ἡ ἄρα ὑπὸ ΑΒΚ γωνία ὀρθή ἐστιν. διὰ



τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΒΑΚ ὀρθή ἐστιν. τριγώνου δὴ τοῦ ΑΒΚ αἱ δύο γωνίαι αἱ ὑπὸ ΑΒΚ, ΒΑΚ δυσὶν ὀρθαῖς εἰσιν ἴσαι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὰ ΓΔ, ΕΖ ἐπίπεδα ἐκβαλλόμενα συμπεσοῦνται· παράλληλα ἄρα ἐστὶ τὰ ΓΔ, ΕΖ ἐπίπεδα.

Πρὸς ἃ ἐπίπεδα ἄρα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστιν, παράλληλά ἐστι τὰ ἐπίπεδα· ὅπερ ἔδει δεῖξαι.

ιε'.

Ἐὰν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι, παράλληλά ἐστι τὰ δι' αὐτῶν ἐπίπεδα.

Δύο γὰρ εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΑΒ, ΒΓ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΔΕ, ΕΖ ἔστωσαν μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι· λέγω, ὅτι ἐκβαλλόμενα τὰ διὰ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ ἐπίπεδα οὐ συμπεσεῖται ἀλλήλοις.



Ἤχθω γὰρ ἀπὸ τοῦ Β σημείου ἐπὶ τὸ διὰ τῶν ΔΕ, ΕΖ ἐπίπεδον κάθετος ἡ ΒΗ καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Η σημεῖον, καὶ διὰ τοῦ Η τῇ μὲν ΕΔ παράλληλος ἤχθω ἡ ΗΘ, τῇ δὲ ΕΖ ἡ ΗΚ. καὶ ἐπεὶ ἡ ΒΗ ὀρθή ἐστι πρὸς τὸ διὰ τῶν ΔΕ, ΕΖ ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ διὰ τῶν ΔΕ, ΕΖ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ αὐτῆς ἑκατέρα τῶν ΗΘ, ΗΚ οὖσα ἐν τῷ διὰ τῶν ΔΕ, ΕΖ ἐπιπέδῳ· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΒΗΘ, ΒΗΚ γωνιῶν. καὶ ἐπεὶ παράλληλός

14.

Τὰ ἐπίπεδα ἐπὶ τὰ ὁποῖα ἡ αὐτὴ εὐθεῖα εἶναι κάθετος εἶναι παράλληλα.

Διότι ἔστω εὐθεῖά τις ἡ AB κάθετος ἐφ' ἑκάτερον τῶν ἐπιπέδων ΓΔ, EZ· λέγω, ὅτι τὰ ἐπίπεδα εἶναι παράλληλα.

Διότι ἐὰν δὲν εἶναι,προεκτεινόμενα θὰ συναντηθῶσιν. Ἂς συναντηθῶσιν· ἡ κοινὴ τομή των βεβαίως θὰ εἶναι εὐθεῖα γραμμὴ (θ. 3)· ἔστω ἡ HΘ, καὶ ἂς ληφθῇ ἐπὶ τῆς HΘ τυχὸν σημεῖον τὸ K, καὶ ἂς ἀχθῶσιν αἱ AK, BK. Καὶ ἐπειδὴ ἡ AB εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον EZ, ἡ AB ἄρα εἶναι κάθετος καὶ ἐπὶ τὴν BK κειμένην ἐν τῷ ἐπιπέδῳ EZ, τὸ ὁποῖον προεξετάθη· ἡ γωνία ἄρα ABK εἶναι ὀρθή. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ γωνία BAK εἶναι ὀρθή. Τοῦ τριγώνου λοιπὸν ABK αἱ δύο γωνίαι ABK, BAK ἰσοῦνται πρὸς δύο ὀρθάς· ὅπερ ἀδύνατον. Δὲν θὰ συναντηθῶσιν ἄρα προεκτεινόμενα τὰ ἐπίπεδα ΓΔ, EZ· τὰ ἐπίπεδα ἄρα ΓΔ, EZ εἶναι παράλληλα.

Τὰ ἐπίπεδα ἄρα, ἐπὶ τὰ ὁποῖα ἡ αὐτὴ εὐθεῖα εἶναι κάθετος, εἶναι παράλληλα· ὅπερ ἔδει δεῖξαι.

15.

Ἐὰν δύο εὐθεῖαι τεμνόμεναι εἶναι παράλληλοι πρὸς δύο τεμνομένας εὐθείας καὶ δὲν κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου, τὰ ἐπίπεδα αὐτῶν εἶναι παράλληλα.

Διότι ἔστωσαν δύο εὐθεῖαι τεμνόμεναι αἱ AB, BΓ παράλληλοι πρὸς δύο εὐθείας τεμνομένας τὰς ΔE, EZ μὴ κείμεναι ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου· λέγω, ὅτι τὰ ἐπίπεδα AB, BΓ καὶ ΔE , ΔZ προεκτεινόμενα δὲν θὰ συναντηθῶσι.

Διότι ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου B ἡ BH κάθετος ἐπὶ τὸ ἐπίπεδον ΔE, EZ καὶ ἂς τέμνῃ τὸ ἐπίπεδον κατὰ τὸ σημεῖον H, καὶ διὰ τοῦ H πρὸς μὲν τὴν EΔ ἂς ἀχθῇ παράλληλος ἡ HΘ, πρὸς δὲ τὴν EZ ἡ HK. Καὶ ἐπειδὴ ἡ BH εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΔE, EZ, εἶναι ἄρα κάθετος καὶ πρὸς πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ κειμένας ἐπὶ τοῦ ἐπιπέδου ΔE, EZ, (ὁρ. 3). Ἅπτεται δὲ αὐτῆς ἑκατέρα τῶν HΘ, HK κειμένη ἐπὶ τοῦ ἐπιπέδου ΔE, EZ· ἑκατέρα ἄρα τῶν γωνιῶν BHΘ, BHK εἶναι ὀρθή. Καὶ ἐπειδὴ ἡ BA εἶναι παράλληλος πρὸς τὴν HΘ, αἱ γωνίαι ἄρα HBA, BHΘ ἰσοῦνται πρὸς δύο ὀρθὰς (I. 29). Εἶναι δὲ ὀρθὴ ἡ BHΘ· εἶναι ἄρα ὀρθὴ καὶ ἡ HBA· ἡ HB ἄρα *ἐστιν ἡ ΒΑ τῇ ΗΘ, αἱ ἄρα ὑπὸ ΗΒΑ, ΒΗΘ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΗΘ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΗΒΑ· ἡ ΗΒ ἄρα τῇ ΒΑ πρὸς ὀρθάς ἐστιν. διὰ τὰ αὐτὰ δὴ ἡ ΗΒ καὶ τῇ ΒΓ ἐστι πρὸς ὀρθάς. ἐπεὶ οὖν εὐθεῖα ἡ ΗΒ δυσὶν εὐθείαις ταῖς ΒΑ, ΒΓ τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐφέστηκεν, ἡ ΗΒ ἄρα καὶ τῷ διὰ τῶν ΒΑ, ΒΓ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. [διὰ τὰ αὐτὰ δὴ ἡ ΒΗ καὶ τῷ διὰ τῶν ΗΘ, ΗΚ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. τὸ δὲ διὰ τῶν ΗΘ, ΗΚ ἐπίπεδόν ἐστι τὸ διὰ τῶν ΔΕ, ΕΖ· ἡ ΒΗ ἄρα τῷ διὰ τῶν ΔΕ, ΕΖ ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. ἐδείχθη δὲ ἡ ΗΒ καὶ τῷ διὰ τῶν ΑΒ, ΒΓ ἐπιπέδῳ πρὸς ὀρθάς]. πρὸς ἃ δὲ ἐπίπεδα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστιν, παράλληλά ἐστι τὰ ἐπίπεδα· παράλληλον ἄρα ἐστὶ τὸ διὰ τῶν ΑΒ, ΒΓ ἐπίπεδον τῷ διὰ τῶν ΔΕ, ΕΖ.*

Ἐὰν ἄρα δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, παράλληλά ἐστι τὰ δι' αὐτῶν ἐπίπεδα· ὅπερ ἔδει δεῖξαι.

ιϛ'.

Ἐὰν δύο ἐπίπεδα παράλληλα ὑπὸ ἐπιπέδου τινὸς τέμνηται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσιν.

Δύο γὰρ ἐπίπεδα παράλληλα τὰ ΑΒ, ΓΔ ὑπὸ ἐπιπέδου τοῦ ΕΖΗΘ τεμνέσθω, κοιναὶ δὲ αὐτῶν τομαὶ ἔστωσαν αἱ ΕΖ, ΗΘ· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΕΖ τῇ ΗΘ.

Εἰ γὰρ μή, ἐκβαλλόμεναι αἱ ΕΖ, ΗΘ ἤτοι ἐπὶ τὰ Ζ, Θ μέρη ἢ ἐπὶ τὰ Ε, Η συμπεσοῦνται. ἐκβεβλήσθωσαν ὡς ἐπὶ τὰ Ζ, Θ μέρη καὶ συμπιπτέτωσαν πρότερον κατὰ τὸ Κ. καὶ ἐπεὶ ἡ ΕΖΚ ἐν τῷ ΑΒ ἐστιν ἐπιπέδῳ, καὶ πάντα ἄρα τὰ ἐπὶ τῆς ΕΖΚ σημεῖα ἐν τῷ ΑΒ ἐστιν ἐπιπέδῳ. ἓν δὲ τῶν ἐπὶ τῆς ΕΖΚ εὐθείας σημείων ἐστὶ τὸ Κ· τὸ Κ ἄρα ἐν τῷ ΑΒ ἐστιν ἐπιπέδῳ. διὰ τὰ αὐτὰ δὴ τὸ Κ καὶ ἐν τῷ ΓΔ ἐστιν ἐπιπέδῳ· τὰ ΑΒ, ΓΔ ἄρα ἐπίπεδα ἐκβαλλόμενα συμπεσοῦνται. οὐ συμπίπτουσι δὲ διὰ τὸ παράλληλα ὑποκεῖσθαι· οὐκ ἄρα αἱ ΕΖ, ΗΘ εὐθεῖαι ἐκβαλλόμεναι ἐπὶ τὰ Ζ, Θ μέρη συμπεσοῦνται. ὁμοίως δὴ δείξομεν, ὅτι αἱ ΕΖ, ΗΘ εὐθεῖαι οὐδὲ ἐπὶ τὰ Ε, Η μέρη ἐκβαλλόμεναι συμπεσοῦνται. αἱ δὲ ἐπὶ μηδέτερα τὰ μέρη συμπίπτουσαι παράλληλοί εἰσιν. παράλληλος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΗΘ.



Ἐὰν ἄρα δύο ἐπίπεδα παράλληλα ὑπὸ ἐπιπέδου τινὸς τέμνηται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσιν· ὅπερ ἔδει δεῖξαι.

εἶναι κάθετος ἐπὶ τὴν ΒΑ. Διὰ τοὺς αὐτοὺς λόγους ἡ ΗΒ εἶναι κάθετος καὶ ἐπὶ τὴν ΒΓ. Ἐπειδὴ λοιπὸν ἡ εὐθεῖα ΗΒ εἶναι κάθετος ἐπὶ δύο τεμνομένας εὐθείας τὰς ΒΑ, ΒΓ, ἡ ΗΒ ἄρα εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΒΑ, ΒΓ. [Διὰ τοὺς αὐτοὺς λόγους ἡ ΒΗ εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΗΘ, ΗΚ. Τὸ δὲ ἐπίπεδον τῶν ΗΘ, ΗΚ εἶναι τὸ ἐπίπεδον τῶν ΔΕ, ΕΖ· ἡ ΒΗ ἄρα εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΔΕ, ΕΖ. Ἐδείχθη δὲ κάθετος ἡ ΗΒ καὶ ἐπὶ τὸ ἐπίπεδον τῶν ΑΒ, ΒΓ]. Τὰ δὲ ἐπίπεδα, ἐπὶ τὰ ὁποῖα ἡ αὐτὴ εὐθεῖα εἶναι κάθετος, εἶναι παράλληλα (θ. 14)· τὸ ἐπίπεδον ἄρα τῶν ΑΒ, ΒΓ εἶναι παράλληλον πρὸς τὸ ἐπίπεδον τῶν ΔΕ, ΕΖ.

Ἐὰν ἄρα δύο εὐθεῖαι τεμνόμεναι εἶναι παράλληλοι πρὸς δύο τεμνομένας εὐθείας καὶ δὲν κεῖνται ἐπὶ τοῦ αὐτοῦ ἐπιπέδου, τὰ ἐπίπεδα αὐτῶν εἶναι παράλληλα· ὅπερ ἔδει δεῖξαι.

16.

Ἐὰν δύο ἐπίπεδα παράλληλα τέμνωνται ὑπὸ ἐπιπέδου τινός, αἱ κοιναὶ αὐτῶν τομαὶ εἶναι παράλληλοι.

Διότι ἂς τέμνωνται δύο παράλληλα ἐπίπεδα τὰ ΑΒ, ΓΔ ὑπὸ ἐπιπέδου τοῦ ΕΖΗΘ, ἔστωσαν δὲ κοιναὶ αὐτῶν τομαὶ αἱ ΕΖ, ΗΘ· λέγω, ὅτι ἡ ΕΖ εἶναι παράλληλος πρὸς τὴν ΗΘ.

Διότι ἐὰν δὲν εἶναι, αἱ ΕΖ, ΗΘ προεκβαλλόμεναι θὰ συναντηθῶσι ἢ πρὸς τὸ μέρος τῶν Ζ, Θ ἢ πρὸς τὸ μέρος τῶν Ε, Η. Ἄς προεκβληθῶσιν πρὸς τὸ μέρος τῶν Ζ, Θ καὶ ἂς συναντηθῶσι πρῶτον κατὰ τὸ Κ. Καὶ ἐπειδὴ ἡ ΕΖΚ κεῖται ἐπὶ τοῦ ἐπιπέδου ΑΒ, καὶ πάντα ἄρα τὰ σημεῖα τῆς ΕΖΚ κεῖνται ἐπὶ τοῦ ἐπιπέδου ΑΒ, (θ. 1). Ἓν δὲ τῶν σημείων τῆς εὐθείας ΕΖΚ εἶναι τὸ Κ· τὸ Κ ἄρα κεῖται ἐπὶ τοῦ ἐπιπέδου ΑΒ. Διὰ τοὺς αὐτοὺς λόγους τὸ Κ κεῖται καὶ ἐπὶ τοῦ ἐπιπέδου ΓΔ· τὰ ἐπίπεδα ἄρα ΑΒ, ΓΔ προεκβαλλόμενα θὰ συναντηθῶσι. Δὲν συναντῶνται ὅμως, διότι ὑπετέθησαν παράλληλα· δὲν θὰ συναντηθῶσιν ἄρα αἱ εὐθεῖαι ΕΖ, ΗΘ προεκβαλλόμεναι πρὸς τὸ μέρος τῶν Ζ, Θ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι αἱ εὐθεῖαι ΕΖ, ΗΘ προεκβαλλόμεναι καὶ πρὸς τὸ μέρος τῶν Ε, Η δὲν θὰ συναντηθῶσιν. Αἱ εὐθεῖαι δὲ αἱ προεκβαλλόμεναι καὶ ἀπὸ τὰ δύο μέρη καὶ μὴ συναντώμεναι εἶναι παράλληλοι. Ἡ ΕΖ ἄρα εἶναι παράλληλος πρὸς τὴν ΗΘ.

Ἐὰν ἄρα δύο ἐπίπεδα παράλληλα τέμνωνται ὑπὸ ἐπιπέδου τινός, αἱ κοιναὶ αὐτῶν τομαὶ εἶναι παράλληλοι· ὅπερ ἔδει δεῖξαι.

ιζ'.

Ἐὰν δύο εὐθεῖαι ὑπὸ παραλλήλων ἐπιπέδων τέμνωνται, εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΓΔ ὑπὸ παραλλήλων ἐπιπέδων τῶν ΗΘ, ΚΛ, ΜΝ τεμνέσθωσαν κατὰ τὰ Α, Ε, Β, Γ, Ζ, Δ σημεῖα· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΕ εὐθεῖα πρὸς τὴν ΕΒ, οὕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΓ, ΒΔ, ΑΔ, καὶ συμβαλλέτω ἡ ΑΔ τῷ ΚΛ ἐπιπέδῳ κατὰ τὸ Ξ σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ ΕΞ, ΞΖ. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΚΛ, ΜΝ ὑπὸ ἐπιπέδου τοῦ ΕΒΔΞ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ αἱ ΕΞ, ΒΔ παράλληλοί εἰσιν. διὰ τὰ αὐτὰ δὴ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΗΘ, ΚΛ ὑπὸ ἐπιπέδου τοῦ ΑΞΖΓ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ αἱ ΑΓ, ΞΖ παράλληλοί εἰσιν. καὶ ἐπεὶ τριγώνου τοῦ ΑΒΔ παρὰ μίαν τῶν πλευρῶν τὴν ΒΔ εὐθεῖα ἦκται ἡ ΕΞ,



ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΕ πρὸς ΕΒ, οὕτως ἡ ΑΞ πρὸς ΞΔ. πάλιν ἐπεὶ τριγώνου τοῦ ΑΔΓ παρὰ μίαν τῶν πλευρῶν τὴν ΑΓ εὐθεῖα ἦκται ἡ ΞΖ, ἀνάλογόν ἐστιν ὡς ἡ ΑΞ πρὸς ΞΔ, οὕτως ἡ ΓΖ πρὸς ΖΔ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΑΞ πρὸς ΞΔ, οὕτως ἡ ΑΕ πρὸς ΕΒ· καὶ ὡς ἄρα ἡ ΑΕ πρὸς ΕΒ, οὕτως ἡ ΓΖ πρὸς ΖΔ.

Ἐὰν ἄρα δύο εὐθεῖαι ὑπὸ παραλλήλων ἐπιπέδων τέμνωνται, εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται· ὅπερ ἔδει δεῖξαι.

ιη'.

Ἐὰν εὐθεῖα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ πάντα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστω· λέγω, ὅτι καὶ πάντα τὰ διὰ τῆς ΑΒ ἐπίπεδα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

Ἐκβεβλήσθω γὰρ διὰ τῆς ΑΒ ἐπίπεδον τὸ ΔΕ, καὶ ἔστω κοινὴ τομὴ τοῦ ΔΕ ἐπιπέδου καὶ τοῦ ὑποκειμένου ἡ ΓΕ, καὶ εἰλήφθω ἐπὶ τῆς ΓΕ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ τῇ ΓΕ πρὸς ὀρθὰς ἤχθω ἐν τῷ ΔΕ ἐπιπέδῳ ἡ ΖΗ. καὶ ἐπεὶ ἡ ΑΒ πρὸς τὸ ὑποκείμενον ἐπίπεδον ὀρθή ἐστιν, καὶ πρὸς πάσας ἄρα

17.

Ἐὰν δύο εὐθεῖαι τέμνωνται ὑπὸ παραλλήλων ἐπιπέδων, θὰ τέμνωνται εἰς μέρη ἀνάλογα.

Διότι ἂς τέμνωνται αἱ εὐθεῖαι ΑΒ, ΓΔ ὑπὸ τῶν παραλλήλων ἐπιπέδων ΗΘ, ΚΛ, ΜΝ κατὰ τὰ σημεῖα Α, Ε, Β, Γ, Ζ, Δ· λέγω, ὅτι εἶναι ΑΕ : ΕΒ = ΓΖ : ΖΔ.

Διότι ἂς ἀχθῶσιν αἱ ΑΓ, ΒΔ, ΑΔ καὶ ἂς συναντᾷ ἡ ΑΔ τὸ ἐπίπεδον ΚΛ κατὰ τὸ σημεῖον Ξ, καὶ ἂς ἀχθῶσιν αἱ ΕΞ, ΞΖ. Καὶ ἐπειδὴ δύο παράλληλα ἐπίπεδα τὰ ΚΛ, ΜΝ τέμνονται ὑπὸ ἐπιπέδου τοῦ ΕΒΔΞ, αἱ κοιναὶ αὐτῶν τομαὶ αἱ ΕΞ, ΒΔ εἶναι παράλληλοι (θ. 16). Διὰ τοὺς αὐτοὺς λόγους, ἐπειδὴ δύο παράλληλα ἐπίπεδα τὰ ΗΘ, ΚΛ τέμνονται ὑπὸ ἐπιπέδου τοῦ ΑΞΖΓ, αἱ κοιναὶ αὐτῶν τομαὶ αἱ ΑΓ, ΞΖ εἶναι παράλληλοι. Καὶ ἐπειδὴ εἰς τὸ τρίγωνον ΑΒΔ ἡ ΕΞ ἤχθη παράλληλος πρὸς τὴν πλευρὰν ΒΔ, εἶναι ἄρα ΑΕ : ΕΒ = ΑΞ : ΞΔ. Πάλιν, ἐπειδὴ εἰς τὸ τρίγωνον ΑΔΓ ἡ ΞΖ ἤχθη παράλληλος πρὸς τὴν πλευρὰν ΑΓ, εἶναι ΑΞ : ΞΔ = ΓΖ : ΖΔ (VI. 2). Ἐδείχθη δὲ ΑΞ : ΞΔ = ΑΕ : ΕΒ· ἄρα ΑΕ : ΕΒ = ΓΖ : ΖΔ.

Ἐὰν ἄρα δύο εὐθεῖαι τέμνωνται ὑπὸ παραλλήλων ἐπιπέδων, θὰ τέμνωνται εἰς μέρη ἀνάλογα· ὅπερ ἔδει δεῖξαι.

18.

Ἐὰν εὐθεῖα εἶναι κάθετος ἐπὶ ἐπίπεδον, καὶ πάντα τὰ δι' αὐτῆς ἐπίπεδα θὰ εἶναι κάθετα ἐπὶ τὸ αὐτὸ ἐπίπεδον.

Διότι ἔστω ἡ εὐθεῖα ΑΒ κάθετος ἐπὶ δοθὲν ἐπίπεδον· λέγω, ὅτι πάντα τὰ διὰ τῆς ΑΒ ἐπίπεδα εἶναι κάθετα ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Διότι ἂς διέρχεται διὰ τῆς ΑΒ τὸ ἐπίπεδον ΔΕ, καὶ ἔστω κοινὴ τομὴ τοῦ ἐπιπέδου ΔΕ καὶ τοῦ δοθέντος ἡ ΓΕ, καὶ ἂς ληφθῇ ἐπὶ τῆς ΓΕ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΓΕ ἡ ΖΗ κειμένη ἐν τῷ ἐπιπέδῳ ΔΕ. Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον, εἶναι ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθή ἐστιν ἡ ΑΒ· ὥστε καὶ πρὸς τὴν ΓΕ ὀρθή ἐστιν· ἡ ἄρα ὑπὸ ΑΒΖ γωνία ὀρθή ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΗΖΒ ὀρθή· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΖΗ. ἡ δὲ ΑΒ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· καὶ ἡ ΖΗ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. καὶ ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθόν ἐστιν, ὅταν αἱ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων πρὸς ὀρθὰς ἀγόμεναι εὐθεῖαι ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ λοιπῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσιν. καὶ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων τῇ ΓΕ ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ ΔΕ πρὸς ὀρθὰς ἀχθεῖσα ἡ ΖΗ ἐδείχθη τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς· τὸ ἄρα ΔΕ ἐπίπεδον ὀρθόν ἐστι πρὸς τὸ ὑποκείμενον. ὁμοίως δὴ δειχθήσεται καὶ πάντα τὰ διὰ τῆς ΑΒ ἐπίπεδα ὀρθὰ τυγχάνοντα πρὸς τὸ ὑποκείμενον ἐπίπεδον.



Ἐὰν ἄρα εὐθεῖα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ πάντα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· ὅπερ ἔδει δεῖξαι.

ιθ'.

Ἐὰν δύο ἐπίπεδα τέμνοντα ἄλληλα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ κοινὴ αὐτῶν τομὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Δύο γὰρ ἐπίπεδα τὰ ΑΒ, ΒΓ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔστω, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΒΔ· λέγω, ὅτι ἡ ΒΔ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

Μὴ γάρ, καὶ ἤχθωσαν ἀπὸ τοῦ Δ σημείου ἐν μὲν τῷ ΑΒ ἐπιπέδῳ τῇ ΑΔ εὐθείᾳ πρὸς ὀρθὰς ἡ ΔΕ, ἐν δὲ τῷ ΒΓ ἐπιπέδῳ τῇ ΓΔ πρὸς ὀρθὰς ἡ ΔΖ. καὶ ἐπεὶ τὸ ΑΒ ἐπίπεδον ὀρθόν ἐστι πρὸς τὸ ὑποκείμενον, καὶ τῇ κοινῇ αὐτῶν τομῇ τῇ ΑΔ πρὸς ὀρθὰς ἐν τῷ ΑΒ ἐπιπέδῳ ἦκται ἡ ΔΕ, ἡ ΔΕ ἄρα ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΔΖ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ἀπὸ τοῦ αὐτοῦ ἄρα σημείου τοῦ Δ τῷ ὑποκειμένῳ ἐπιπέδῳ δύο εὐθεῖαι πρὸς ὀρθὰς ἀνεσταμέναι εἰσὶν ἐπὶ τὰ αὐτὰ μέρη· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τῷ ὑποκειμένῳ ἐπιπέδῳ ἀπὸ τοῦ Δ σημείου ἀνασταθήσεται πρὸς ὀρθὰς πλὴν τῆς ΔΒ κοινῆς τομῆς τῶν ΑΒ, ΒΓ ἐπιπέδων.



Ἐὰν ἄρα δύο ἐπίπεδα τέμνοντα ἄλληλα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ κοινὴ αὐτῶν τομὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται· ὅπερ ἔδει δεῖξαι.

κάθετος καὶ ἐπὶ πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ εὑρισκομένας εἰς τὸ δοθὲν ἐπίπεδον (ὁρ. 3)· ὥστε εἶναι κάθετος καὶ ἐπὶ τὴν ΓΕ· ἡ γωνία ἄρα ΑΒΖ εἶναι ὀρθή. Εἶναι δὲ καὶ ἡ ΗΖΒ ὀρθή· ἡ ΑΒ ἄρα εἶναι παράλληλος πρὸς τὴν ΖΗ (Ι. 28). Ἡ δὲ ΑΒ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον· καὶ ἡ ΖΗ ἄρα εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον (θ. 8). Καὶ ἐπίπεδον εἶναι κάθετον ἐπὶ ἐπίπεδον, ὅταν αἱ ἐπὶ τὴν κοινὴν τομὴν τῶν ἐπιπέδων ἀγόμεναι κάθετοι κείμεναι εἰς τὸ ἓν ἐπίπεδον εἶναι κάθετοι καὶ ἐπὶ τὸ ἄλλο (ὁρ. 4). Καὶ ἐδείχθη ἡ ΖΗ κάθετος ἐπὶ τὴν κοινὴν τομὴν τῶν ἐπιπέδων τὴν ΓΕ, κειμένη εἰς τὸ ἓν ἐπίπεδον τὸ ΔΕ· τὸ ἐπίπεδον ἄρα ΔΕ εἶναι κάθετον ἐπὶ τὸ δοθέν. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ πάντα τὰ ἐπίπεδα τὰ διὰ τῆς ΑΒ διερχόμενα εἶναι κάθετα ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Ἐὰν ἄρα εὐθεῖα εἶναι κάθετος ἐπὶ ἐπίπεδον, καὶ πάντα τὰ δι' αὐτῆς ἐπίπεδα εἶναι κάθετα ἐπὶ τὸ αὐτὸ ἐπίπεδον· ὅπερ ἔδει δεῖξαι.

19.

Ἐὰν δύο τεμνόμενα ἐπίπεδα εἶναι κάθετα ἐπὶ ἐπίπεδον, καὶ ἡ κοινὴ αὐτῶν τομὴ θὰ εἶναι κάθετος ἐπὶ τὸ αὐτὸ ἐπίπεδον.

Διότι ἔστω δύο ἐπίπεδα τὰ ΑΒ, ΒΓ κάθετα ἐπὶ τὸ δοθὲν ἐπίπεδον, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΒΔ· λέγω, ὅτι ἡ ΒΔ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον.

Διότι ἔστω ὅτι δὲν εἶναι, καὶ ἂς ἀχθῶσιν ἀπὸ τοῦ σημείου Δ εἰς μὲν τὸ ἐπίπεδον ΑΒ ἡ ΕΔ κάθετος ἐπὶ τὴν ΑΔ, εἰς δὲ τὸ ἐπίπεδον ΒΓ ἡ ΔΖ κάθετος ἐπὶ τὴν ΓΔ. Καὶ ἐπειδὴ τὸ ἐπίπεδον ΑΒ εἶναι κάθετον ἐπὶ τὸ δοθέν, καὶ ἐπὶ τῆς κοινῆς αὐτῶν τομῆς τῆς ΑΔ ἤχθη κάθετος ἡ ΔΕ κειμένη εἰς τὸ ἐπίπεδον ΑΒ, ἡ ΔΕ ἄρα εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον (ὁρ. 4). Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἡ ΔΖ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον. Ἀπὸ τοῦ αὐτοῦ ἄρα σημείου τοῦ Δ εἶναι ὑψωμέναι δύο κάθετοι κείμεναι πρὸς τὸ αὐτὸ μέρος τοῦ ἐπιπέδου· ὅπερ ἀδύνατον (θ. 13). Οὐδεμία ἄρα ἄλλη κάθετος δύναται νὰ ἀχθῇ ἀπὸ τοῦ σημείου Δ ἐπὶ τὸ δοθὲν ἐπίπεδον, πλὴν τῆς ΔΒ κοινῆς τομῆς τῶν ἐπιπέδων ΑΒ, ΒΓ.

Ἐὰν ἄρα δύο τεμνόμενα ἐπίπεδα εἶναι κάθετα ἐπὶ ἐπίπεδον, καὶ ἡ κοινὴ αὐτῶν τομὴ θὰ εἶναι κάθετος ἐπὶ τὸ αὐτὸ ἐπίπεδον· ὅπερ ἔδει δεῖξαι.

κ'.

Ἐὰν στερεὰ γωνία ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων περιέχηται, δύο ὁποιαιοῦν τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι.

Στερεὰ γὰρ γωνία ἡ πρὸς τῷ Α ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων τῶν ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ περιεχέσθω· λέγω, ὅτι τῶν ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ γωνιῶν δύο ὁποιαιοῦν τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι.

Εἰ μὲν οὖν αἱ ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, φανερόν, ὅτι δύο ὁποιαιοῦν τῆς λοιπῆς μείζονές εἰσιν. εἰ δὲ οὔ, ἔστω μείζων ἡ ὑπὸ ΒΑΓ, καὶ συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΔΑΒ γωνίᾳ ἐν τῷ διὰ τῶν ΒΑΓ ἐπιπέδῳ ἴση ἡ ὑπὸ ΒΑΕ, καὶ κείσθω τῇ ΑΔ ἴση ἡ ΑΕ, καὶ διὰ τοῦ Ε σημείου διαχθεῖσα ἡ ΒΕΓ



τεμνέτω τὰς ΑΒ, ΑΓ εὐθείας κατὰ τὰ Β, Γ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΔΒ, ΔΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΕ, κοινὴ δὲ ἡ ΑΒ, δύο δυσὶν ἴσαι· καὶ γωνία ἡ ὑπὸ ΔΑΒ γωνίᾳ τῇ ὑπὸ ΒΑΕ ἴση· βάσις ἄρα ἡ ΔΒ βάσει τῇ ΒΕ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΒΔ, ΔΓ τῆς ΒΓ μείζονές εἰσιν, ὧν ἡ ΔΒ τῇ ΒΕ ἐδείχθη ἴση, λοιπὴ ἄρα ἡ ΔΓ λοιπῆς τῆς ΕΓ μείζων ἐστίν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΕ, κοινὴ δὲ ἡ ΑΓ, καὶ βάσις ἡ ΔΓ βάσεως τῆς ΕΓ μείζων ἐστίν, γωνία ἄρα ἡ ὑπὸ ΔΑΓ γωνίας τῆς ὑπὸ ΕΑΓ μείζων ἐστίν. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΔΑΒ τῇ ὑπὸ ΒΑΕ ἴση· αἱ ἄρα ὑπὸ ΔΑΒ, ΔΑΓ τῆς ὑπὸ ΒΑΓ μείζονές εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ λοιπαὶ σύνδυο λαμβανόμεναι τῆς λοιπῆς μείζονές εἰσιν.

Ἐὰν ἄρα στερεὰ γωνία ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων περιέχηται, δύο ὁποιαιοῦν τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι· ὅπερ ἔδει δεῖξαι.

κα'.

Ἅπασα στερεὰ γωνία ὑπὸ ἐλασσόνων [ἢ] τεσσάρων ὀρθῶν γωνιῶν ἐπιπέδων περιέχεται.

Ἔστω στερεὰ γωνία ἡ πρὸς τῷ Α περιεχομένη ὑπὸ ἐπιπέδων γωνιῶν τῶν ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ· λέγω, ὅτι αἱ ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ τεσσάρων ὀρθῶν ἐλάσσονές εἰσιν.

Εἰλήφθω γὰρ ἐφ' ἑκάστης τῶν ΑΒ, ΑΓ, ΑΔ τυχόντα σημεῖα τὰ Β, Γ, Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΓ, ΓΔ, ΔΒ. καὶ ἐπεὶ στερεὰ γωνία ἡ πρὸς τῷ

20.

Ἐὰν στερεὰ γωνία περιέχηται ὑπὸ τριῶν ἐπιπέδων γωνιῶν, δύο οἱαιδήποτε ἐξ αὐτῶν εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται.

Διότι ἔστω ὅτι ἡ κατὰ τὸ Α στερεὰ γωνία περιέχεται ὑπὸ τριῶν ἐπιπέδων γωνιῶν τῶν ΒΑΓ, ΓΑΔ, ΔΑΒ· λέγω, ὅτι δύο οἱαιδήποτε ἐκ τῶν γωνιῶν ΒΑΓ, ΓΑΔ, ΔΑΒ εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται.

Ἐὰν μὲν λοιπὸν αἱ γωνίαι ΒΑΓ, ΓΑΔ, ΔΑΒ εἶναι ἴσαι πρὸς ἀλλήλας, εἶναι φανερόν, ὅτι δύο τυχοῦσαι εἶναι μεγαλύτεραι τῆς ἄλλης. Ἐὰν δὲ δὲν εἶναι ἴσαι, ἔστω μεγαλυτέρα ἡ ΒΑΓ, καὶ ἂς κατασκευασθῇ μὲ πλευρὰν τὴν εὐθεῖαν ΑΒ καὶ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον Α ἡ γωνία ΒΑΕ ἴση πρὸς τὴν ΔΑΒ κειμένη εἰς τὸ ἐπίπεδον ΒΑΓ, καὶ ἂς ληφθῇ ΑΕ = ΑΔ, καὶ διὰ τοῦ σημείου Ε ἀχθεῖσα ἡ ΒΕΓ ἂς τέμνῃ τὰς εὐθείας ΑΒ, ΑΓ κατὰ τὰ σημεῖα Β, Γ, καὶ ἂς ἀχθῶσιν αἱ ΔΒ, ΔΓ. Καὶ ἐπειδὴ ΔΑ = ΑΕ, κοινὴ δὲ ἡ ΑΒ, ὑπάρχουσι δύο πλευραὶ (τριγώνου) ἴσαι πρὸς δύο πλευρὰς ἄλλου τριγώνου ἀντιστοίχως· καὶ ἡ γωνία ΔΑΒ εἶναι ἴση πρὸς τὴν ΒΑΕ· ἡ βάσις ἄρα ΔΒ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΕ (I. 4). Καὶ ἐπειδὴ ΒΔ + ΔΓ $\rangle$ ΒΓ (I. 20), ἐξ ὧν ἡ ΔΒ ἐδείχθη ἴση πρὸς τὴν ΒΕ, ἡ λοιπὴ ἄρα ἡ ΔΓ τῆς λοιπῆς τῆς ΕΓ εἶναι μεγαλυτέρα. Καὶ ἐπειδὴ ΔΑ = ΑΕ, κοινὴ δὲ ἡ ΑΓ, καὶ βάσις ΔΓ $\rangle$ βάσεως ΕΓ, ἡ γωνία ἄρα ΔΑΓ εἶναι μεγαλυτέρα τῆς ΕΑΓ (I. 25). Ἐδείχθη δὲ καὶ ΔΑΒ = ΒΑΕ· ἄρα ΔΑΒ + ΔΑΓ $\rangle$ ΒΑΓ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ τὸ ἄθροισμα δύο ἄλλων τυχουσῶν γωνιῶν εἶναι μεγαλύτερον τῆς λοιπῆς.

Ἐὰν ἄρα στερεὰ γωνία περιέχηται ὑπὸ τριῶν ἐπιπέδων γωνιῶν, δύο οἱαιδήποτε ἐξ αὐτῶν εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται· ὅπερ ἔδει δεῖξαι.

21.

Πᾶσα στερεὰ γωνία περιέχεται ὑπὸ ἐπιπέδων γωνιῶν, τῶν ὁποίων τὸ ἄθροισμα εἶναι μικρότερον τεσσάρων ὀρθῶν.

Ἔστω στερεὰ γωνία ἔχουσα κορυφὴν τὸ Α περιεχομένη ὑπὸ τῶν ἐπιπέδων γωνιῶν ΒΑΓ, ΓΑΔ, ΔΑΒ· λέγω, ὅτι τὸ ἄθροισμα ΒΑΓ + ΓΑΔ + ΔΑΒ εἶναι μικρότερον τεσσάρων ὀρθῶν.

Διότι ἂς ληφθῶσιν ἐφ' ἑκάστης τῶν ΑΒ, ΑΓ, ΑΔ τυχόντα σημεῖα τὰ Β, Γ, Δ, καὶ ἂς ἀχθῶσιν αἱ ΒΓ, ΓΔ, ΔΒ. Καὶ ἐπειδὴ ἡ παρὰ τὸ Β στερεὰ

Β ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων περιέχεται τῶν ὑπὸ ΓΒΑ, ΑΒΔ, ΓΒΔ, δύο ὁποιαιοῦν τῆς λοιπῆς μείζονές εἰσιν· αἱ ἄρα ὑπὸ ΓΒΑ, ΑΒΔ τῆς ὑπὸ ΓΒΔ μείζονές εἰσιν. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ μὲν ὑπὸ ΒΓΑ, ΑΓΔ τῆς ὑπὸ ΒΓΔ μείζονές εἰσιν, αἱ δὲ ὑπὸ ΓΔΑ, ΑΔΒ τῆς ὑπὸ ΓΔΒ μείζονές εἰσιν· αἱ ἓξ ἄρα γωνίαι αἱ ὑπὸ ΓΒΑ, ΑΒΔ, ΒΓΑ, ΑΓΔ, ΓΔΑ, ΑΔΒ τριῶν τῶν ὑπὸ ΓΒΔ, ΒΓΔ, ΓΔΒ μείζονές εἰσιν. ἀλλὰ αἱ τρεῖς αἱ ὑπὸ ΓΒΔ, ΒΔΓ, ΒΓΔ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἓξ ἄρα αἱ ὑπὸ ΓΒΑ, ΑΒΔ, ΒΓΑ, ΑΓΔ, ΓΔΑ, ΑΔΒ δύο ὀρθῶν μείζονές εἰσιν. καὶ ἐπεὶ ἑκάστου τῶν ΑΒΓ, ΑΓΔ, ΑΔΒ τριγώνων αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, αἱ ἄρα τῶν τριῶν τριγώνων ἐννέα γωνίαι αἱ ὑπὸ ΓΒΑ, ΑΓΒ, ΒΑΓ, ΑΓΔ, ΓΔΑ, ΓΑΔ, ΑΔΒ, ΔΒΑ, ΒΑΔ ἓξ ὀρθαῖς ἴσαι εἰσίν, ὧν αἱ ὑπὸ ΑΒΓ, ΒΓΑ, ΑΓΔ, ΓΔΑ, ΑΔΒ, ΔΒΑ ἓξ γωνίαι δύο ὀρθῶν εἰσι μείζονες· λοιπαὶ ἄρα αἱ ὑπὸ ΒΑΓ, ΓΑΔ, ΔΑΒ τρεῖς [γωνίαι] περιέχουσαι τὴν στερεὰν γωνίαν τεσσάρων ὀρθῶν ἐλάσσονές εἰσιν.



Ἅπασα ἄρα στερεὰ γωνία ὑπὸ ἐλασσόνων [ἢ] τεσσάρων ὀρθῶν γωνιῶν ἐπιπέδων περιέχεται· ὅπερ ἔδει δεῖξαι.

κβ'.

Ἐὰν ὦσι τρεῖς γωνίαι ἐπίπεδοι, ὧν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, περιέχωσι δὲ αὐτὰς ἴσαι εὐθεῖαι, δυνατόν ἐστιν ἐκ τῶν ἐπιζευγνυουσῶν τὰς ἴσας εὐθείας τρίγωνον συστήσασθαι.

Ἔστωσαν τρεῖς γωνίαι ἐπίπεδοι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, αἱ μὲν ὑπὸ ΑΒΓ, ΔΕΖ τῆς ὑπὸ ΗΘΚ, αἱ δὲ ὑπὸ ΔΕΖ, ΗΘΚ τῆς ὑπὸ ΑΒΓ, καὶ ἔτι αἱ ὑπὸ ΗΘΚ, ΑΒΓ τῆς ὑπὸ ΔΕΖ, καὶ ἔστωσαν ἴσαι αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ εὐθεῖαι, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΔΖ, ΗΚ· λέγω, ὅτι δυνατόν ἐστιν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι, τουτέστιν ὅτι τῶν ΑΓ, ΔΖ, ΗΚ δύο ὁποιαιοῦν τῆς λοιπῆς μείζονές εἰσιν.



Εἰ μὲν οὖν αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, φανερόν, ὅτι καὶ τῶν ΑΓ, ΔΖ, ΗΚ ἴσων γινομένων δυνατόν ἐστιν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι. εἰ δὲ οὔ, ἔστωσαν ἄνισοι, καὶ συνεστάτω πρὸς τῇ ΘΚ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Θ τῇ ὑπὸ ΑΒΓ γωνίᾳ ἴση γωνία περιέχεται ὑπὸ τριῶν ἐπιπέδων γωνιῶν τῶν ΓΒΑ, ΑΒΔ, ΓΒΔ, δύο τυχοῦσαι ἐξ αὐτῶν εἶναι μεγαλύτεραι τῆς λοιπῆς (θ. 20)· αἱ γωνίαι ἄρα $ΓΒΑ + ΑΒΔ > ΓΒΔ$. Διὰ τοὺς αὐτοὺς λόγους αἱ μὲν $ΒΓΑ + ΑΓΔ > ΒΓΔ$, αἱ δὲ $ΓΔΑ + ΑΔΒ > ΓΔΒ$· αἱ ἓξ ἄρα γωνίαι $ΓΒΑ + ΑΒΔ + ΒΓΑ + ΑΓΔ + ΓΔΑ + ΑΔΒ >$ τῶν τριῶν $ΓΒΔ + ΒΓΔ + ΓΔΒ$. Ἀλλὰ αἱ τρεῖς $ΓΒΔ + ΒΔΓ + ΒΓΔ = 2$ ὀρθαὶ (Ι. 32)· αἱ ἓξ ἄρα $ΓΒΑ + ΑΒΔ + ΒΓΑ + ΑΓΔ + ΓΔΑ + ΑΔΒ > 2$ ὀρθῶν. Καὶ ἐπειδὴ αἱ γωνίαι ἑκάστου τῶν τριγώνων ΑΒΓ, ΑΓΔ, ΑΔΒ ἰσοῦνται πρὸς δύο ὀρθάς, αἱ ἐννέα ἄρα γωνίαι τῶν τριγώνων αἱ $ΓΒΑ + ΑΓΒ + ΒΑΓ + ΑΓΔ + ΓΔΑ + ΓΑΔ + ΑΔΒ + ΔΒΑ + ΒΑΔ = 6$ ὀρθάς, ἐξ ὧν αἱ $ΑΒΓ + ΒΓΑ + ΑΓΔ + ΓΔΑ + ΑΔΒ + ΔΒΑ > 2$ ὀρθῶν· αἱ λοιπαὶ ἄρα τρεῖς αἱ $ΒΑΓ + ΓΑΔ + ΔΑΒ$ αἱ περιέχουσαι τὴν στερεὰν γωνίαν εἶναι μικρότεραι τεσσάρων ὀρθῶν.

Πᾶσα ἄρα στερεὰ γωνία περιέχεται ὑπὸ ἐπιπέδων γωνιῶν, τῶν ὁποίων τὸ ἄθροισμα εἶναι μικρότερον τεσσάρων ὀρθῶν· ὅπερ ἔδει δεῖξαι.

22.

Ἐὰν ὑπάρχωσι τρεῖς γωνίαι ἐπίπεδοι, τῶν ὁποίων αἱ δύο εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, περιέχωσι δὲ αὐτὰς ἴσαι εὐθεῖαι, εἶναι δυνατὸν ἐκ τῶν εὐθειῶν, αἱ ὁποῖαι συνδέουσι τὰς ἴσας εὐθείας, νὰ κατασκευασθῇ τρίγωνον.

Ἔστωσαν τρεῖς γωνίαι ἐπίπεδοι αἱ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ἐκ τῶν ὁποίων αἱ δύο νὰ εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, αἱ μὲν $ΑΒΓ + ΔΕΖ > ΗΘΚ$, αἱ δὲ $ΔΕΖ + ΗΘΚ > ΑΒΓ$, καὶ ἀκόμη αἱ $ΗΘΚ + ΑΒΓ > ΔΕΖ$, καὶ ἔστωσαν αἱ εὐθεῖαι $ΑΒ = ΒΓ = ΔΕ = ΕΖ = ΗΘ = ΘΚ$, καὶ ἂς ἀχθῶσιν αἱ ΑΓ, ΔΖ, ΗΚ· λέγω, ὅτι εἶναι δυνατὸν ἐκ τῶν ἴσων πρὸς τὰς ΑΓ, ΔΖ, ΗΚ νὰ κατασκευασθῇ τρίγωνον, τουτέστιν ὅτι δύο ἐκ τῶν ΑΓ, ΔΖ, ΗΚ οἱαιδήποτε εἶναι μεγαλύτεραι τῆς λοιπῆς.

Ἐὰν μὲν λοιπὸν αἱ γωνίαι ΑΒΓ, ΔΕΖ, ΗΘΚ εἶναι ἴσαι πρὸς ἀλλήλας, εἶναι φανερόν, ὅτι ἀφοῦ αἱ ΑΓ, ΔΖ, ΗΚ γίνονται ἴσαι, εἶναι δυνατὸν ἐκ τῶν ἴσων ΑΓ, ΔΖ, ΗΚ νὰ κατασκευασθῇ τρίγωνον. Ἐὰν δὲ ὄχι, ἔστωσαν ἄνισοι, καὶ ἐπὶ τῆς εὐθείας ΘΚ καὶ μὲ κορυφὴν τὸ σημεῖον αὐτῆς Θ ἂς κατασκευασθῇ ἡ ὑπὸ ΚΘΛ· καὶ κείσθω μιᾷ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἴση ἡ ΘΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΛ, ΗΛ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΚΘ, ΘΛ ἴσαι εἰσίν, καὶ γωνία ἡ πρὸς τῷ Β γωνίᾳ τῇ ὑπὸ ΚΘΛ ἴση, βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΚΛ ἴση. καὶ ἐπεὶ αἱ ὑπὸ ΑΒΓ, ΗΘΚ τῆς ὑπὸ ΔΕΖ μείζονές εἰσιν, ἴση δὲ ἡ ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΚΘΛ, ἡ ἄρα ὑπὸ ΗΘΛ τῆς ὑπὸ ΔΕΖ μείζων ἐστίν· καὶ ἐπεὶ δύο αἱ ΗΘ, ΘΛ δύο ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΗΘΛ γωνίας τῆς ὑπὸ ΔΕΖ μείζων, βάσις ἄρα ἡ ΗΛ βάσεως τῆς ΔΖ μείζων ἐστίν. ἀλλὰ αἱ ΗΚ, ΚΛ τῆς ΗΛ μείζονές εἰσιν. πολλῷ ἄρα αἱ ΗΚ, ΚΛ τῆς ΔΖ μείζονές εἰσιν. ἴση δὲ ἡ ΚΛ τῇ ΑΓ· αἱ ΑΓ, ΗΚ ἄρα τῆς λοιπῆς τῆς ΔΖ μείζονές εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ μὲν ΑΓ, ΔΖ τῆς ΗΚ μείζονές εἰσιν, καὶ ἔτι αἱ ΔΖ, ΗΚ τῆς ΑΓ μείζονές εἰσιν. δυνατὸν ἄρα ἐστὶν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι· ὅπερ ἔδει δεῖξαι.



κγ΄.

Ἐκ τριῶν γωνιῶν ἐπιπέδων, ὧν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, στερεὰν γωνίαν συστήσασθαι· δεῖ δὴ τὰς τρεῖς τεσσάρων ὀρθῶν ἐλάσσονας εἶναι.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς γωνίαι ἐπίπεδοι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες ἔστωσαν πάντῃ μεταλαμβανόμεναι, ἔτι δὲ αἱ τρεῖς τεσσάρων ὀρθῶν ἐλάσσονες· δεῖ δὴ ἐκ τῶν ἴσων ταῖς ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ στερεὰν γωνίαν συστήσασθαι.

Ἀπειλήφθωσαν ἴσαι αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΔΖ, ΗΚ· δυνατὸν ἄρα ἐστὶν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι. συνεστάτω



τὸ ΛΜΝ, ὥστε ἴσην εἶναι τὴν μὲν ΑΓ τῇ ΛΜ, τὴν δὲ ΔΖ τῇ ΜΝ, καὶ ἔτι τὴν ΗΚ τῇ ΝΛ, καὶ περιγεγράφθω περὶ τὸ ΛΜΝ τρίγωνον κύκλος ὁ ΛΜΝ, καὶ εἰλήφθω αὐτοῦ τὸ κέντρον καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ, ΜΞ, ΝΞ· λέγω, ὅτι ἡ ΑΒ μείζων ἐστὶ τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ ἢ ἐλάττων. ἔστω πρότερον ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ, ἀλλὰ ἡ μὲν ΑΒ τῇ ΒΓ ἐστιν ἴση, ἡ δὲ ΞΛ τῇ ΞΜ, δύο δὴ αἱ ΑΒ, ΒΓ δύο ταῖς ΛΞ, ΞΜ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ ΑΓ βάσει τῇ ΛΜ ὑπόκειται ἴση· γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΛΞΜ ἐστιν ἴση·

γωνία $ΚΘΛ = ΑΒΓ$· καὶ ἂς ληφθῇ ἡ ΘΛ ἴση πρὸς μίαν τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ καὶ ἂς ἀχθῶσιν αἱ ΚΛ, ΗΛ. Καὶ ἐπειδὴ αἱ δύο πλευραὶ ΑΒ, ΒΓ εἶναι ἴσαι πρὸς τὰς δύο ΚΘ, ΘΛ καὶ ἡ παρὰ τὸ Β γωνία $= ΚΘΛ$, ἡ βάσις ἄρα ΑΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΚΛ (I. 4). Καὶ ἐπειδὴ $ΑΒΓ + ΗΘΚ > ΔΕΖ$, εἶναι δὲ $ΑΒΓ = ΚΘΛ$, ἄρα $ΗΘΛ > ΔΕΖ$. Καὶ ἐπειδὴ δύο αἱ ΗΘ, ΘΛ εἶναι ἴσαι πρὸς δύο τὰς ΔΕ, ΕΖ, καὶ γωνία $ΗΘΛ > ΔΕΖ$, ἡ βάσις ἄρα $ΗΛ >$ τῆς βάσεως ΔΖ (I. 24). Ἀλλὰ $ΗΚ + ΚΛ > ΗΛ$ (I. 20). Κατὰ μείζονα ἄρα λόγον $ΗΚ + ΚΛ > ΔΖ$. Εἶναι δὲ $ΚΛ = ΑΓ$· ἄρα $ΑΓ + ΗΚ > ΔΖ$. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι αἱ μὲν $ΑΓ + ΔΖ > ΗΚ$, καὶ ἀκόμη αἱ $ΔΖ + ΗΚ > ΑΓ$. Εἶναι δυνατὸν ἄρα ἐκ τῶν ἴσων πρὸς τὰς ΑΓ, ΔΖ, ΗΚ νὰ κατασκευασθῇ τρίγωνον· ὅπερ ἔδει δεῖξαι.

23.

Ἐκ τριῶν ἐπιπέδων γωνιῶν, ἐκ τῶν ὁποίων αἱ δύο εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, νὰ κατασκευασθῇ στερεὰ γωνία· πρέπει ὅμως αἱ τρεῖς ἐπίπεδοι νὰ εἶναι μικρότεραι τεσσάρων ὀρθῶν.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς ἐπίπεδοι γωνίαι αἱ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ἐκ τῶν ὁποίων αἱ δύο νὰ εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, καὶ ἀκόμη αἱ τρεῖς νὰ εἶναι μικρότεραι τεσσάρων ὀρθῶν· πρέπει ἐκ τῶν ἴσων πρὸς τὰς ΑΒΓ, ΔΕΖ, ΗΘΚ νὰ κατασκευασθῇ στερεὰ γωνία.

Ἂς ληφθῇ $ΑΒ = ΒΓ = ΔΕ = ΕΖ = ΗΘ = ΘΚ$ καὶ ἂς ἀχθῶσιν αἱ ΑΓ, ΔΖ, ΗΚ· εἶναι δυνατὸν ἄρα ἐκ τῶν ἴσων πρὸς τὰς ΑΓ, ΔΖ, ΗΚ νὰ κατασκευασθῇ τρίγωνον (θ. 22). Ἂς κατασκευασθῇ τὸ ΛΜΝ, ὥστε ἡ μὲν $ΑΓ = ΛΜ$, ἡ δὲ $ΔΖ = ΜΝ$, καὶ ἀκόμη ἡ $ΗΚ = ΝΛ$, καὶ ἂς γραφῇ περὶ τὸ τρίγωνον ΛΜΝ κύκλος ὁ ΛΜΝ (IV. 5), καὶ ἂς ληφθῇ τὸ κέντρον αὐτοῦ ἔστω τὸ Ξ, καὶ ἂς ἀχθῶσιν αἱ ΛΞ, ΜΞ, ΝΞ· λέγω, ὅτι ἡ $ΑΒ >$ τῆς ΛΞ. Διότι ἐὰν δὲν εἶναι, θὰ εἶναι $ΑΒ \leqq ΛΞ$. Ἔστω πρότερον ἴση. Καὶ ἐπειδὴ $ΑΒ = ΛΞ$, ἀλλὰ ἡ μὲν $ΑΒ = ΒΓ$, ἡ δὲ $ΞΛ = ΞΜ$, ὑπάρχουσι δύο πλευραὶ αἱ ΑΒ, ΒΓ ἴσαι ἀντιστοίχως πρὸς τὰς ΛΞ, ΞΜ· καὶ ἡ βάσις ΑΓ ἐλήφθη ἴση πρὸς τὴν ΛΜ· ἡ γωνία ἄρα ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΛΞΜ (I. 8). Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ἡ μὲν $ΔΕΖ = ΜΞΝ$, καὶ ἀκόμη ἡ $ΗΘΚ = ΝΞΛ$· αἱ τρεῖς ἄρα γωνίαι αἱ ΑΒΓ, ΔΕΖ, ΗΘΚ εἶναι ἴσαι πρὸς τὰς τρεῖς τὰς ΛΞΜ, ΜΞΝ, ΝΞΛ ἀντιστοίχως. Ἀλλὰ αἱ τρεῖς αἱ ΛΞΜ, ΜΞΝ, ΝΞΛ εἶναι ἴσαι πρὸς τέσσαρας ὀρθάς· καὶ αἱ τρεῖς ἄρα αἱ ΑΒΓ, ΔΕΖ, ΗΘΚ εἶναι ἴσαι πρὸς τέσσαρας ὀρθάς. Ἐλήφθησαν δὲ μικρότεραι τεσσάρων ὀρθῶν· ὅπερ ἄτοπον. Ἡ ΑΒ ἄρα δὲν διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΔΕΖ τῇ ὑπὸ ΜΞΝ ἐστιν ἴση, καὶ ἔτι ἡ ὑπὸ ΗΘΚ τῇ ὑπὸ ΝΞΛ· αἱ ἄρα τρεῖς αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ γωνίαι τρισὶ ταῖς ὑπὸ ΛΞΜ, ΜΞΝ, ΝΞΛ εἰσιν ἴσαι. ἀλλὰ αἱ τρεῖς αἱ ὑπὸ ΛΞΜ, ΜΞΝ, ΝΞΛ τέτταρσιν ὀρθαῖς εἰσιν ἴσαι· καὶ αἱ τρεῖς ἄρα αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ τέτταρσιν ὀρθαῖς ἴσαι εἰσίν. ὑπόκεινται δὲ καὶ τεσσάρων ὀρθῶν ἐλάσσονες· ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ ΑΒ τῇ ΛΞ ἴση ἐστίν. λέγω δή, ὅτι οὐδὲ ἐλάττων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ δυνατόν, ἔστω· καὶ κείσθω τῇ μὲν ΑΒ ἴση ἡ ΞΟ, τῇ δὲ ΒΓ ἴση ἡ ΞΠ, καὶ ἐπεζεύχθω ἡ ΟΠ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΒΓ, ἴση ἐστὶ καὶ ἡ ΞΟ τῇ ΞΠ· ὥστε καὶ λοιπὴ ἡ ΛΟ τῇ ΠΜ ἐστιν ἴση. παράλληλος ἄρα ἐστὶν ἡ ΛΜ τῇ ΟΠ, καὶ ἰσογώνιον τὸ ΛΜΞ τῷ ΟΠΞ· ἔστιν ἄρα ὡς ἡ ΞΛ πρὸς ΛΜ, οὕτως ἡ ΞΟ πρὸς ΟΠ. ἐναλλὰξ ὡς ἡ ΛΞ πρὸς ΞΟ, οὕτως ἡ ΛΜ πρὸς ΟΠ. μείζων δὲ ἡ ΛΞ τῆς ΞΟ· μείζων ἄρα καὶ ἡ ΛΜ τῆς ΟΠ. ἀλλὰ ἡ ΛΜ κεῖται τῇ ΑΓ ἴση· καὶ ἡ ΑΓ ἄρα τῆς ΟΠ μείζων ἐστίν. ἐπεὶ οὖν δύο αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΟΞ, ΞΠ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΑΓ βάσεως τῆς ΟΠ μείζων ἐστίν, γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίας τῆς ὑπὸ ΟΞΠ μείζων ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ μὲν ὑπὸ ΔΕΖ τῆς ὑπὸ ΜΞΝ μείζων ἐστίν, ἡ δὲ ὑπὸ ΗΘΚ τῆς ὑπὸ ΝΞΛ. αἱ ἄρα τρεῖς γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ τριῶν τῶν ὑπὸ ΛΞΜ, ΜΞΝ, ΝΞΛ μείζονές εἰσιν. ἀλλὰ αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ τεσσάρων ὀρθῶν ἐλάσσονες ὑπόκεινται· πολλῷ ἄρα αἱ ὑπὸ ΛΞΜ, ΜΞΝ, ΝΞΛ τεσσάρων ὀρθῶν ἐλάσσονές εἰσιν. ἀλλὰ καὶ ἴσαι· ὅπερ ἐστὶν ἄτοπον. οὐκ ἄρα ἡ ΑΒ ἐλάσσων ἐστὶ τῆς ΛΞ. ἐδείχθη δέ, ὅτι οὐδὲ ἴση· μείζων ἄρα ἡ ΑΒ τῆς ΛΞ. ἀνεστάτω δὴ ἀπὸ τοῦ Ξ σημείου τῷ τοῦ ΛΜΝ κύκλου ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΞΡ, καὶ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον ἔστω τὸ ἀπὸ τῆς ΞΡ, καὶ ἐπεζεύχθωσαν αἱ ΡΛ, ΡΜ, ΡΝ. καὶ ἐπεὶ ἡ ΡΞ ὀρθή ἐστι πρὸς τὸ τοῦ ΛΜΝ κύκλου ἐπίπεδον, καὶ πρὸς ἑκάστην ἄρα τῶν ΛΞ, ΜΞ, ΝΞ ὀρθή ἐστιν ἡ ΡΞ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΛΞ τῇ ΞΜ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΞΡ, βάσις ἄρα ἡ ΡΛ βάσει τῇ ΡΜ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΡΝ ἑκατέρᾳ τῶν ΡΛ, ΡΜ ἐστιν ἴση· αἱ τρεῖς ἄρα αἱ ΡΛ, ΡΜ, ΡΝ ἴσαι ἀλλήλαις εἰσίν. καὶ ἐπεὶ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον ὑπόκειται τὸ ἀπὸ τῆς ΞΡ, τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΛΞ, ΞΡ. τοῖς δὲ ἀπὸ τῶν ΛΞ, ΞΡ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΛΡ· ὀρθὴ γὰρ ἡ ὑπὸ ΛΞΡ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΡΛ· ἴση ἄρα ἡ ΑΒ τῇ ΡΛ. ἀλλὰ τῇ μὲν ΑΒ ἴση ἐστὶν ἑκάστη τῶν ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, τῇ δὲ ΡΛ ἴση ἑκατέρα τῶν ΡΜ, ΡΝ· ἑκάστη ἄρα τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἑκάστῃ τῶν ΡΛ, ΡΜ, ΡΝ ἴση ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΛΡ, ΡΜ δυσὶ ταῖς ΑΒ, ΒΓ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΛΜ βάσει τῇ ΑΓ ὑπόκειται ἴση, γωνία ἄρα ἡ ὑπὸ ΛΡΜ γωνίᾳ τῇ ὑπὸ ΑΒΓ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΜΡΝ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΛΡΝ τῇ ὑπὸ ΗΘΚ.



εἶναι ἴση πρὸς τὴν ΛΞ. Λέγω τώρα, ὅτι δὲν εἶναι οὔτε μικροτέρα· διότι ἐὰν εἶναι δυνατόν, ἔστω μικροτέρα· καὶ ἂς ληφθῇ ΑΒ = ΞΟ, ΒΓ = ΞΠ καὶ ἂς ἀχθῇ ἡ ΟΠ. Καὶ ἐπειδὴ ΑΒ = ΒΓ, εἶναι καὶ ΞΟ = ΞΠ· ὥστε καὶ ἡ λοιπὴ ἡ ΛΟ = ΠΜ. Ἡ ΛΜ ἄρα εἶναι παράλληλος πρὸς τὴν ΟΠ (VI. 2) καὶ τὸ τρίγ. ΛΜΞ εἶναι ἰσογώνιον πρὸς τὸ ΟΠΞ (I. 29)· εἶναι ἄρα ΞΛ : ΛΜ = ΞΟ : ΟΠ (VI. 4)· ἐναλλὰξ ΛΞ : ΞΟ = ΛΜ : ΟΠ (VI. 16). Εἶναι δὲ ΛΞ > ΞΟ· ἄρα καὶ ΛΜ > ΟΠ (V. 14). Ἀλλὰ εἶναι ΛΜ = ΑΓ· εἶναι ἄρα ΑΓ > ΟΠ. Ἐπειδὴ λοιπὸν δύο πλευραὶ αἱ ΑΒ, ΒΓ εἶναι ἴσαι πρὸς δύο τὰς ΟΞ, ΞΠ καὶ ἡ βάσις ΑΓ > βάσεως ΟΠ, ἡ γωνία ἄρα ΑΒΓ > τῆς γωνίας ΟΞΠ (I. 25). Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἡ μὲν ΔΕΖ εἶναι μεγαλυτέρα τῆς ΜΞΝ, ἡ δὲ ΗΘΚ τῆς ΝΞΛ· αἱ τρεῖς ἄρα γωνίαι αἱ ΑΒΓ + ΔΕΖ + ΗΘΚ εἶναι μεγαλύτεραι τῶν τριῶν ΛΞΜ + ΜΞΝ + ΝΞΛ. Ἀλλὰ ΑΒΓ + ΔΕΖ + ΗΘΚ ἐλήφθησαν μικρότεραι τεσσάρων ὀρθῶν· κατὰ μείζονα ἄρα λόγον ΛΞΜ + ΜΞΝ + ΝΞΛ εἶναι μικρότεραι τεσσάρων ὀρθῶν. Ἀλλὰ εἶναι καὶ ἴσαι· ὅπερ ἄτοπον. Δὲν εἶναι ἄρα ΑΒ < ΛΞ. Ἐδείχθη δὲ ὅτι δὲν εἶναι οὔτε ἴση· εἶναι ἄρα ΑΒ > ΛΞ. Ἂς ὑψωθῇ λοιπὸν ἀπὸ τοῦ σημείου Ξ ἡ ΞΡ κάθετος ἐπὶ τὸ ἐπίπεδον τοῦ κύκλου ΛΜΝ (θ. 12) καὶ ἔστω $ΑΒ^2 — ΛΞ^2 = ΞΡ^2$, καὶ ἂς ἀχθῶσιν αἱ ΡΛ, ΡΜ, ΡΝ. Καὶ ἐπειδὴ ἡ ΡΞ εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον τοῦ κύκλου ΛΜΝ, εἶναι ἄρα ἡ ΡΞ κάθετος καὶ πρὸς ἑκάστην τῶν ΛΞ, ΜΞ, ΝΞ. Καὶ ἐπειδὴ ΛΞ = ΞΜ, κοινὴ δὲ καὶ κάθετος ἡ ΞΡ, ἡ βάσις ἄρα ΡΛ εἶναι ἴση πρὸς τὴν βάσιν ΡΜ (I. 4). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΡΝ εἶναι ἴση πρὸς ἑκατέραν τῶν ΡΛ, ΡΜ· αἱ τρεῖς ἄρα αἱ ΡΛ, ΡΜ, ΡΝ εἶναι πρὸς ἀλλήλας ἴσαι. Καὶ ἐπειδὴ ἐλήφθη $ΑΒ^2 — ΛΞ^2 = ΞΡ^2$, εἶναι ἄρα $ΑΒ^2 = ΛΞ^2 + ΞΡ^2$. Εἶναι δὲ $ΛΞ^2 + ΞΡ^2 = ΛΡ^2$ (I. 47)· διότι ἡ γωνία ΛΞΡ εἶναι ὀρθή· ἄρα $ΑΒ^2 = ΡΛ^2$· ἄρα ΑΒ = ΡΛ. Ἀλλὰ ἑκάστη τῶν ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ εἶναι ἴση πρὸς τὴν ΑΒ, ἑκατέρα δὲ τῶν ΡΜ, ΡΝ εἶναι ἴση πρὸς τὴν ΡΛ· ἑκάστη ἄρα τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΡΛ, ΡΜ, ΡΝ. Καὶ ἐπειδὴ δύο αἱ ΛΡ, ΡΜ εἶναι ἴσαι πρὸς δύο τὰς ΑΒ, ΒΓ καὶ ἐλήφθη ἡ βάσις ΛΜ ἴση πρὸς τὴν βάσιν ΑΓ, ἡ γωνία ἄρα ΛΡΜ εἶναι ἴση πρὸς τὴν γωνίαν ΑΒΓ (I. 8). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ μὲν ΜΡΝ = ΔΕΖ, ἡ δὲ ΛΡΝ = ΗΘΚ.

Ἐκ τριῶν ἄρα γωνιῶν ἐπιπέδων τῶν ὑπὸ ΛΡΜ, ΜΡΝ, ΛΡΝ, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις ταῖς ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, στερεὰ γωνία συνέσταται ἡ πρὸς τῷ Ρ περιεχομένη ὑπὸ τῶν ΛΡΜ, ΜΡΝ, ΛΡΝ γωνιῶν· ὅπερ ἔδει ποιῆσαι.

Λῆμμα.

Ὃν δὲ τρόπον, ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον λαβεῖν ἔστι τὸ ἀπὸ τῆς ΞΡ, δείξομεν οὕτως. ἐκκείσθωσαν αἱ ΑΒ, ΛΞ εὐθεῖαι, καὶ ἔστω μείζων ἡ ΑΒ, καὶ γεγράφθω ἐπ᾿ αὐτῆς ἡμικύκλιον τὸ ΑΒΓ, καὶ εἰς τὸ ΑΒΓ ἡμικύκλιον ἐνηρμόσθω τῇ ΛΞ εὐθείᾳ μὴ μείζονι οὔσῃ τῆς ΑΒ διαμέτρου ἴση ἡ ΑΓ, καὶ ἐπεζεύχθω ἡ ΓΒ. ἐπεὶ οὖν ἐν ἡμικυκλίῳ τῷ ΑΓΒ γωνία ἐστὶν ἡ ὑπὸ ΑΓΒ, ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΑΓΒ. τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΓ, ΓΒ. ὥστε τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΑΓ μεῖζόν ἐστι τῷ ἀπὸ τῆς ΓΒ. ἴση δὲ ἡ ΑΓ τῇ ΛΞ. τὸ ἄρα ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ μεῖζόν ἐστι τῷ ἀπὸ τῆς ΓΒ. ἐὰν οὖν τῇ ΒΓ ἴσην τὴν ΞΡ ἀπολάβωμεν, ἔσται τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ μεῖζον τῷ ἀπὸ τῆς ΞΡ· ὅπερ προέκειτο ποιῆσαι.



κδ΄.

Ἐὰν στερεὸν ὑπὸ παραλλήλων ἐπιπέδων περιέχηται, τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν.

Στερεὸν γὰρ τὸ ΓΔΘΗ ὑπὸ παραλλήλων ἐπιπέδων περιεχέσθω τῶν ΑΓ, ΗΖ, ΑΘ, ΔΖ, ΒΖ, ΑΕ· λέγω, ὅτι τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν.

Ἐπεὶ γὰρ δύο ἐπίπεδα παράλληλα τὰ ΒΗ, ΓΕ ὑπὸ ἐπιπέδου τοῦ ΑΓ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσιν. παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΔΓ. πάλιν, ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΒΖ, ΑΕ ὑπὸ ἐπιπέδου τοῦ ΑΓ τέμνεται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσιν. παράλληλος ἄρα ἐστὶν ἡ ΒΓ τῇ ΑΔ. ἐδείχθη δὲ καὶ ἡ ΑΒ τῇ ΔΓ παράλληλος· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΑΓ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἕκαστον τῶν ΔΖ, ΖΗ, ΗΒ, ΒΖ, ΑΕ παραλληλόγραμμόν ἐστιν.



Ἐπεζεύχθωσαν αἱ ΑΘ, ΔΖ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ μὲν ΑΒ τῇ ΔΓ, ἡ δὲ ΒΘ τῇ ΓΖ, δύο δὴ αἱ ΑΒ, ΒΘ ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας τὰς ΔΓ, ΓΖ ἁπτομένας ἀλλήλων εἰσὶν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· ἴσας ἄρα γωνίας περιέξουσιν· ἴση ἄρα ἡ ὑπὸ ΑΒΘ γωνία τῇ ὑπὸ ΔΓΖ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΘ δυσὶ ταῖς ΔΓ, ΓΖ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΑΒΘ γωνίᾳ τῇ ὑπὸ

Ἐκ τριῶν ἄρα ἐπιπέδων γωνιῶν τῶν ΛΡΜ, ΜΡΝ, ΛΡΝ, αἱ ὁποῖαι εἶναι ἴσαι πρὸς τὰς δοθείσας τρεῖς τὰς ΑΒΓ, ΔΕΖ, ΗΘΚ, κατεσκευάσθη ἡ μὲ κορυφὴν τὸ Ρ στερεὰ γωνία περιεχομένη ὑπὸ τῶν γωνιῶν ΛΡΜ, ΜΡΝ, ΛΡΝ· ὅπερ ἔδει ποιῆσαι.

Λ ῆ μ μ α.

Πῶς δὲ εἶναι δυνατὸν νὰ ληφθῇ $ΑΒ^2 - ΛΞ^2 = ΞΡ^2$ ἀποδεικνύομεν ὡς ἑξῆς· ἔστωσαν αἱ εὐθεῖαι $ΑΒ > ΛΞ$ καὶ ἂς γραφῇ ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΒΓ, καὶ εἰς τὸ ἡμικύκλιον ΑΒΓ ἂς ἐναρμοσθῇ ἡ εὐθεῖα ΑΓ ἴση πρὸς τὴν ΛΞ, ἡ ὁποία δὲν εἶναι μεγαλυτέρα τῆς διαμέτρου ΑΒ (IV. 1), καὶ ἂς ἀχθῇ ἡ ΓΒ. Ἐπειδὴ λοιπὸν ἡ γωνία ΑΓΒ εἶναι ἐγγεγραμμένη εἰς τὸ ἡμικύκλιον ΑΓΒ, ἡ ΑΓΒ ἄρα εἶναι ὀρθὴ (III. 31). Ἄρα $ΑΒ^2 = ΑΓ^2 + ΓΒ^2$ (I. 47). Ὥστε $ΑΒ^2 - ΑΓ^2 = ΓΒ^2$. Εἶναι δὲ $ΑΓ = ΛΞ$. Ἄρα $ΑΒ^2 - ΛΞ^2 = ΓΒ^2$. Ἐὰν λοιπὸν λάβωμεν $ΞΡ = ΓΒ$, θὰ εἶναι $ΑΒ^2 - ΛΞ^2 = ΞΡ^2$· ὅπερ προέκειτο νὰ ποιηθῇ.

24.

Ἐὰν στερεὸν περιέχηται ὑπὸ παραλλήλων ἐπιπέδων, τὰ ἀπέναντι ἐπίπεδα αὐτῶν εἶναι ἴσα καὶ παραλληλόγραμμα.

Διότι ἂς περιέχηται τὸ στερεὸν ΓΔΘΗ ὑπὸ τῶν παραλλήλων ἐπιπέδων ΑΓ, ΗΖ, ΑΘ, ΔΖ, ΒΖ, ΑΕ· λέγω, ὅτι τὰ ἀπέναντι ἐπίπεδα αὐτοῦ εἶναι ἴσα καὶ παραλληλόγραμμα.

Διότι ἐπειδὴ δύο παράλληλα ἐπίπεδα τὰ ΒΗ, ΓΕ τέμνονται ὑπὸ ἐπιπέδου τοῦ ΑΓ, αἱ κοιναὶ αὐτῶν τομαὶ εἶναι παράλληλοι (θ. 16). Ἡ ΑΒ ἄρα εἶναι παράλληλος πρὸς τὴν ΔΓ. Πάλιν, ἐπειδὴ δύο ἐπίπεδα παράλληλα τὰ ΒΖ, ΑΕ τέμνονται ὑπὸ ἐπιπέδου τοῦ ΑΓ, αἱ κοιναὶ αὐτῶν τομαὶ εἶναι παράλληλοι. Ἡ ΒΓ ἄρα εἶναι παράλληλος πρὸς τὴν ΑΔ. Ἐδείχθη δὲ καὶ ἡ ΑΒ παράλληλος πρὸς τὴν ΔΓ· τὸ ΑΓ ἄρα εἶναι παραλληλόγραμμον. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ ἕκαστον τῶν ΔΖ, ΖΗ, ΗΒ, ΒΖ, ΑΕ εἶναι παραλληλόγραμμον.

Ἂς ἀχθῶσιν αἱ ΑΘ, ΔΖ. Καὶ ἐπειδὴ ἡ μὲν ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΔΓ, ἡ δὲ ΒΘ πρὸς τὴν ΓΖ, ὑπάρχουσι δύο εὐθεῖαι αἱ ΑΒ, ΒΘ ἁπτόμεναι ἀλλήλων παράλληλοι πρὸς δύο εὐθείας ἁπτομένας ἀλλήλων οὐχὶ ἐν τῷ αὐτῷ ἐπιπέδῳ· θὰ περιέχωσιν ἄρα ἴσας γωνίας (θ. 15)· εἶναι ἄρα ἡ γωνία ΑΒΘ ἴση πρὸς τὴν ΔΓΖ. Καὶ ἐπειδὴ δύο πλευραὶ αἱ ΑΒ, ΒΘ εἶναι ἴσαι πρὸς δύο

ΔΓΖ ἐστιν ἴση, βάσις ἄρα ἡ ΑΘ βάσει τῇ ΔΖ ἐστιν ἴση, καὶ τὸ ΑΒΘ τρίγωνον τῷ ΔΓΖ τριγώνῳ ἴσον ἐστίν. καί ἐστι τοῦ μὲν ΑΒΘ διπλάσιον τὸ ΒΗ παραλληλόγραμμον, τοῦ δὲ ΔΓΖ διπλάσιον τὸ ΓΕ παραλληλόγραμμον· ἴσον ἄρα τὸ ΒΗ παραλληλόγραμμον τῷ ΓΕ παραλληλογράμμῳ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τὸ μὲν ΑΓ τῷ ΗΖ ἐστιν ἴσον, τὸ δὲ ΑΕ τῷ ΒΖ.

Ἐὰν ἄρα στερεὸν ὑπὸ παραλλήλων ἐπιπέδων περιέχηται, τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα ἴσα τε καὶ παραλληλόγραμμά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

κε΄.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ τμηθῇ παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔσται ὡς ἡ βάσις πρὸς τὴν βάσιν, οὕτως τὸ στερεὸν πρὸς τὸ στερεόν.

Στερεὸν γὰρ παραλληλεπίπεδον τὸ ΑΒΓΔ ἐπιπέδῳ τῷ ΖΗ τετμήσθω παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις τοῖς ΡΑ, ΔΘ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΑΕΖΦ βάσις πρὸς τὴν ΕΘΓΖ βάσιν, οὕτως τὸ ΑΒΖΥ στερεὸν πρὸς τὸ ΕΗΓΔ στερεόν.

Ἐκβεβλήσθω γὰρ ἡ ΑΘ ἐφ᾽ ἑκάτερα τὰ μέρη, καὶ κείσθωσαν τῇ μὲν ΑΕ ἴσαι ὁσαιδηποτοῦν αἱ ΑΚ, ΚΛ, τῇ δὲ ΕΘ ἴσαι ὁσαιδηποτοῦν αἱ ΘΜ, ΜΝ, καὶ συμπεπληρώσθω τὰ ΛΟ, ΚΦ, ΘΧ, ΜΣ παραλληλόγραμμα καὶ τὰ ΛΠ, ΚΡ, ΔΜ, ΜΤ στερεά. καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΛΚ, ΚΑ, ΑΕ εὐθεῖαι ἀλλήλαις, ἴσα ἐστὶ καὶ τὰ μὲν ΛΟ, ΚΦ, ΑΖ παραλληλόγραμμα ἀλλήλοις, τὰ δὲ ΚΞ, ΚΒ, ΑΗ ἀλλήλοις καὶ ἔτι τὰ ΛΨ, ΚΠ, ΑΡ ἀλλήλοις· ἀπεναντίον γάρ. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ μὲν ΕΓ, ΘΧ,



ΜΣ παραλληλόγραμμα ἴσα εἰσὶν ἀλλήλοις, τὰ δὲ ΘΗ, ΘΙ, ΙΝ ἴσα εἰσὶν ἀλλήλοις, καὶ ἔτι τὰ ΔΘ, ΜΩ, ΝΤ· τρία ἄρα ἐπίπεδα τῶν ΛΠ, ΚΡ, ΑΥ στερεῶν τρισὶν ἐπιπέδοις ἐστὶν ἴσα. ἀλλὰ τὰ τρία τρισὶ τοῖς ἀπεναντίον ἐστὶν ἴσα· τὰ ἄρα τρία στερεὰ τὰ ΛΠ, ΚΡ, ΑΥ ἴσα ἀλλήλοις ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ τρία στερεὰ τὰ ΕΔ, ΔΜ, ΜΤ ἴσα ἀλλήλοις ἐστίν· ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΛΖ βάσις τῆς ΑΖ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΛΥ στερεὸν τοῦ ΑΥ στερεοῦ. διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΝΖ βάσις τῆς ΖΘ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΝΥ στερεὸν τοῦ ΘΥ στερεοῦ. καὶ εἰ ἴση ἐστὶν ἡ ΛΖ βάσις τῇ ΝΖ βάσει, ἴσον ἐστὶ καὶ τὸ ΛΥ στερεὸν τῷ ΝΥ στερεῷ, καὶ εἰ ὑπερέχει ἡ ΛΖ βάσις τῆς ΝΖ βάσεως, ὑπερέχει καὶ τὸ ΛΥ στερεὸν τοῦ ΝΥ στερεοῦ, καὶ εἰ ἐλλείπει, ἐλλείπει. τεσσάρων δὴ ὄντων τὰς ΔΓ, ΓΖ (Ι. 34), καὶ ἡ γωνία ΑΓΒ εἶναι ἴση πρὸς τὴν ΔΓΖ, ἡ βάσις ἄρα ΑΘ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΖ, καὶ τὸ τρίγωνον ΑΒΘ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΓΖ (Ι. 4). Καὶ εἶναι τοῦ μὲν ΑΒΘ διπλάσιον τὸ παραλληλόγραμμον ΒΗ, τοῦ δὲ ΔΓΖ διπλάσιον τὸ παραλληλόγραμμον ΓΕ· τὸ παραλληλόγραμμον ἄρα ΒΗ εἶναι ἴσον πρὸς τὸ παραλληλόγραμμον ΓΕ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καὶ τὸ μὲν ΑΓ = ΗΖ, τὸ δὲ ΑΕ = ΒΖ.

Ἐὰν ἄρα στερεὸν περιέχηται ὑπὸ παραλλήλων ἐπιπέδων, τὰ ἀπέναντι ἐπίπεδα αὐτοῦ εἶναι ἴσα καὶ παραλληλόγραμμα· ὅπερ ἔδει δεῖξαι.

25.

Ἐὰν στερεὸν παραλληλεπίπεδον τμηθῇ ὑπὸ ἐπιπέδου παραλλήλου πρὸς τὰ ἀπέναντι ἐπίπεδα, θὰ εἶναι ὡς ἡ βάσις πρὸς τὴν βάσιν, οὕτως τὸ στερεὸν πρὸς τὸ στερεόν.

Διότι ἂς τμηθῇ τὸ στερεὸν παραλληλεπίπεδον ΑΒΓΔ ὑπὸ τοῦ ἐπιπέδου ΖΗ παραλλήλου πρὸς τὰ ἀπέναντι ἐπίπεδα τὰ ΡΑ, ΔΘ· λέγω, ὅτι εἶναι ὡς ἡ βάσις ΑΕΖΦ πρὸς τὴν βάσιν ΕΘΓΖ, οὕτως εἶναι τὸ στερεὸν ΑΒΖΥ πρὸς τὸ στερεὸν ΕΗΓΔ.

Διότι ἂς προεκβληθῇ ἡ ΑΘ καὶ ἀπὸ τὰ δύο μέρη, καὶ ἂς ληφθῶσι πρὸς μὲν τὴν ΑΕ ὁσαιδήποτε ἴσαι αἱ ΑΚ, ΚΛ, πρὸς δὲ τὴν ΕΘ ὁσαιδήποτε ἴσαι αἱ ΘΜ, ΜΝ καὶ ἂς συμπληρωθῶσι τὰ παραλληλόγραμμα ΛΟ, ΚΦ, ΘΧ, ΜΣ καὶ τὰ στερεὰ ΛΠ, ΚΡ, ΔΜ, ΜΤ. Καὶ ἐπειδὴ αἱ εὐθεῖαι ΛΚ, ΚΑ, ΑΕ εἶναι ἴσαι πρὸς ἀλλήλας, εἶναι καὶ τὰ μὲν παραλληλόγραμμα ΛΟ, ΚΦ, ΑΖ ἴσα πρὸς ἄλληλα, τὰ δὲ ΚΞ, ΚΒ, ΑΗ ἴσα πρὸς ἄλληλα, καὶ ἀκόμη τὰ ΛΨ, ΚΠ, ΑΡ ἴσα πρὸς ἄλληλα· διότι κεῖνται ἀπέναντι (θ. 24). Διὰ τοὺς αὐτοὺς λόγους καὶ τὰ μὲν παραλληλόγραμμα ΕΓ, ΘΧ, ΜΣ εἶναι ἴσα πρὸς ἄλληλα, τὰ δὲ ΘΗ, ΘΙ, ΙΝ ἐπίσης, καὶ ἀκόμη τὰ ΔΘ, ΜΩ, ΝΤ· τρία ἄρα ἐπίπεδα τῶν στερεῶν ΛΠ, ΚΡ, ΑΥ εἶναι ἴσα πρὸς τρία ἐπίπεδα (ἀντιστοίχως). Ἀλλὰ τὰ τρία εἶναι ἴσα πρὸς τὰς τρεῖς ἀπέναντι βάσεις (θ. 24)· τὰ τρία ἄρα στερεὰ τὰ ΛΠ, ΚΡ, ΑΥ εἶναι πρὸς ἄλληλα ἴσα (ὁρ. 10). Διὰ τοὺς αὐτοὺς λόγους καὶ τὰ τρία στερεὰ τὰ ΕΔ, ΔΜ, ΜΤ εἶναι ἴσα πρὸς ἄλληλα· ὅσας ἄρα φορὰς ἡ βάσις ΛΖ εἶναι μεγαλυτέρα τῆς βάσεως ΑΖ, τόσας φορὰς καὶ τὸ στερεὸν ΛΥ εἶναι τοῦ στερεοῦ ΑΥ. Διὰ τοὺς αὐτοὺς λόγους ὅσας φορὰς ἡ βάσις ΝΖ εἶναι μεγαλυτέρα τῆς βάσεως ΖΘ, τόσας εἶναι καὶ τὸ στερεὸν ΝΥ τοῦ στερεοῦ ΘΥ. Καὶ ἐὰν ἡ βάσις ΛΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΝΖ, εἶναι ἴσον καὶ τὸ στερεὸν ΛΥ τοῦ στερεοῦ ΝΥ, καὶ ἐὰν ὑπερέχῃ ἡ βάσις ΛΖ τῆς βάσεως ΝΖ, ὑπερέχει καὶ τὸ στερεὸν ΛΥ τοῦ στερεοῦ ΝΥ, καὶ ἐὰν ἐλλείπῃ, ἐλλείπει. Διότι, ἐνῷ ὑπάρχουσι τέσσαρα μεγέθη, δύο μὲν βάσεις αἱ ΑΖ, ΖΘ, δύο δὲ στερεὰ τὰ ΑΥ, ΥΘ, ἐλήφθησαν ἰσάκις πολλαπλάσια τῆς μὲν βάσεως ΑΖ καὶ τοῦ στερεοῦ ΑΥ καὶ ἡ βάσις ΛΖ καὶ τὸ στερεὸν ΛΥ, τῆς δὲ βάσεως ΘΖ καὶ τοῦ στερεοῦ ΘΥ καὶ ἡ *μεγεθῶν, δύο μὲν βάσεων τῶν ΑΖ, ΖΘ, δύο δὲ στερεῶν τῶν ΑΥ, ΥΘ, εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΑΖ βάσεως καὶ τοῦ ΑΥ στερεοῦ ἥ τε ΛΖ βάσις καὶ τὸ ΛΥ στερεόν, τῆς δὲ ΘΖ βάσεως καὶ τοῦ ΘΥ στερεοῦ ἥ τε ΝΖ βάσις καὶ τὸ ΝΥ στερεόν, καὶ δέδεικται, ὅτι εἰ ὑπερέχει ἡ ΛΖ βάσις τῆς ΖΝ βάσεως, ὑπερέχει καὶ τὸ ΛΥ στερεὸν τοῦ ΝΥ [στερεοῦ], καὶ εἰ ἴση, ἴσον, καὶ εἰ ἐλλείπει, ἐλλείπει. ἔστιν ἄρα ὡς ἡ ΑΖ βάσις πρὸς τὴν ΖΘ βάσιν, οὕτως τὸ ΑΥ στερεὸν πρὸς τὸ ΥΘ στερεόν· ὅπερ ἔδει δεῖξαι.*

κϛ'.

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῇ δοθείσῃ στερεᾷ γωνίᾳ ἴσην στερεὰν γωνίαν συστήσασθαι.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ πρὸς αὐτῇ δοθὲν σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα στερεὰ γωνία ἡ πρὸς τῷ Δ περιεχομένη ὑπὸ τῶν ὑπὸ ΕΔΓ, ΕΔΖ, ΖΔΓ γωνιῶν ἐπιπέδων· δεῖ δὴ πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ πρὸς τῷ Δ στερεᾷ γωνίᾳ ἴσην στερεὰν γωνίαν συστήσασθαι.

Εἰλήφθω γὰρ ἐπὶ τῆς ΔΖ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἤχθω ἀπὸ τοῦ Ζ ἐπὶ τὸ διὰ τῶν ΕΔ, ΔΓ ἐπίπεδον κάθετος ἡ ΖΗ, καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΔΗ, καὶ συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ μὲν ὑπὸ ΕΔΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΑΛ, τῇ δὲ ὑπὸ ΕΔΗ ἴση ἡ ὑπὸ ΒΑΚ, καὶ κείσθω τῇ ΔΗ ἴση ἡ ΑΚ, καὶ ἀνεστάτω ἀπὸ τοῦ Κ σημείου τῷ διὰ τῶν ΒΑΛ ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΚΘ, καὶ κείσθω ἴση τῇ ΗΖ ἡ ΚΘ, καὶ ἐπεζεύχθω ἡ ΘΑ· λέγω, ὅτι ἡ πρὸς τῷ Α στερεὰ γωνία περιεχομένη ὑπὸ τῶν ΒΑΛ, ΒΑΘ, ΘΑΛ γωνιῶν ἴση ἐστὶ τῇ πρὸς τῷ Δ στερεᾷ γωνίᾳ τῇ περιεχομένῃ ὑπὸ τῶν ΕΔΓ, ΕΔΖ, ΖΔΓ γωνιῶν.



Ἀπειλήφθωσαν γὰρ ἴσαι αἱ ΑΒ, ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΒ, ΚΒ, ΖΕ, ΗΕ. καὶ ἐπεὶ ἡ ΖΗ ὀρθή ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΖΗΔ, ΖΗΕ γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ὑπὸ ΘΚΑ, ΘΚΒ γωνιῶν ὀρθή ἐστιν. καὶ ἐπεὶ δύο αἱ ΚΑ, ΑΒ δύο ταῖς ΗΔ, ΔΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΚΒ βάσει τῇ ΗΕ ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ ΚΘ τῇ ΗΖ ἴση· καὶ γωνίας ὀρθὰς περιέχουσιν· ἴση ἄρα καὶ ἡ ΘΒ τῇ ΖΕ. πάλιν ἐπεὶ βάσις ΝΖ καὶ τὸ στερεὸν ΝΥ, καὶ ἀπεδείχθη, ὅτι ἐὰν ὑπερέχῃ ἡ βάσις ΛΖ τῆς βάσεως ΖΝ, ὑπερέχει καὶ τὸ στερεὸν ΛΥ τοῦ στερεοῦ ΝΥ, καὶ ἐὰν εἶναι ἴση, ἴσον, καὶ ἐὰν ἐλλείπῃ, ἐλλείπει. Εἶναι ἄρα ὡς ἡ βάσις ΑΖ πρὸς τὴν βάσιν ΖΘ, οὕτως τὸ στερεὸν ΑΥ πρὸς τὸ στερεὸν ΥΘ (V. ὁρ. 5)· ὅπερ ἔδει δεῖξαι.

26.

Ἐπὶ δοθείσης εὐθείας καὶ σημείου ἐπ' αὐτῆς ὡς κορυφῆς νὰ κατασκευασθῇ στερεὰ γωνία ἴση πρὸς τὴν δοθεῖσαν στερεὰν γωνίαν.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ ἐπ' αὐτῆς σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα στερεὰ γωνία μὲ κορυφὴν τὸ Δ ἡ περιεχομένη ὑπὸ τῶν ἐπιπέδων γωνιῶν ΕΔΓ, ΕΔΖ, ΖΔΓ· πρέπει ἐπὶ τῆς εὐθείας ΑΒ καὶ τοῦ ἐπ' αὐτῆς σημείου ὡς κορυφῆς τοῦ Α νὰ κατασκευασθῇ στερεὰ γωνία ἴση πρὸς τὴν στερεὰν γωνίαν τὴν ἔχουσαν κορυφὴν τὸ Δ.

Διότι ἂς ληφθῇ ἐπὶ τῆς ΔΖ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ Ζ ἡ ΖΗ κάθετος ἐπὶ τὸ ἐπίπεδον τῶν ΕΔ, ΔΓ καὶ ἂς τέμνῃ αὕτη τὸ ἐπίπεδον κατὰ τὸ Η, καὶ ἂς ἀχθῇ ἡ ΔΗ, καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΑΒ καὶ μὲ κορυφὴν τὸ Α πρὸς μὲν τὴν γωνίαν ΕΔΓ ἴση ἡ ΒΑΛ, πρὸς δὲ τὴν ΕΔΗ ἴση ἡ ΒΑΚ (Ι. 23), καὶ ἂς ληφθῇ ΑΚ = ΔΗ, καὶ ἀπὸ τοῦ σημείου Κ ἂς ὑψωθῇ ἡ ΚΘ κάθετος ἐπὶ τὸ ἐπίπεδον ΒΑΛ (θ. 12), καὶ ἂς ληφθῇ ΚΘ = ΗΖ, καὶ ἂς ἀχθῇ ἡ ΘΑ· λέγω, ὅτι ἡ στερεὰ γωνία Α ἡ περιεχομένη ὑπὸ τῶν γωνιῶν ΒΑΛ, ΒΑΘ, ΘΑΛ εἶναι ἴση πρὸς τὴν στερεὰν γωνίαν Δ τὴν περιεχομένην ὑπὸ τῶν γωνιῶν ΕΔΓ, ΕΔΖ, ΖΔΓ.

Διότι ἂς ληφθῇ ΑΒ = ΔΕ καὶ ἂς ἀχθῶσιν αἱ ΘΒ, ΚΒ, ΖΕ, ΗΕ. Καὶ ἐπειδὴ ἡ ΖΗ εἶναι κάθετος ἐπὶ τὸ δοθὲν ἐπίπεδον, εἶναι ἄρα κάθετος καὶ πρὸς πάσας τὰς εὐθείας τὰς ἁπτομένας αὐτῆς καὶ κειμένας ἐπὶ τοῦ δοθέντος ἐπιπέδου (ὁρ. 3)· ἑκατέρα ἄρα τῶν γωνιῶν ΖΗΔ, ΖΗΕ εἶναι ὀρθή. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἑκατέρα τῶν γωνιῶν ΘΚΑ, ΘΚΒ εἶναι ὀρθή. Καὶ ἐπειδὴ δύο πλευραὶ αἱ ΚΑ, ΑΒ εἶναι ἴσαι πρὸς δύο τὰς ΗΔ, ΔΕ ἀντιστοίχως, καὶ περιέχουσι γωνίας ἴσας, ἡ βάσις ἄρα ΚΒ εἶναι ἴση πρὸς τὴν βάσιν ΗΕ (Ι. 4). Εἶναι δὲ καὶ ΚΘ = ΗΖ· καὶ περιέχουσι γωνίας ὀρθάς· ἄρα ΘΒ = ΖΕ. Πάλιν, ἐπειδὴ δύο

δύο αἱ ΑΚ, ΚΘ δυσὶ ταῖς ΔΗ, ΗΖ ἴσαι εἰσίν, καὶ γωνίας ὀρθὰς περιέχουσιν, βάσις ἄρα ἡ ΑΘ βάσει τῇ ΖΔ ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση· δύο δὴ αἱ ΘΑ, ΑΒ δύο ταῖς ΔΖ, ΔΕ ἴσαι εἰσίν. καὶ βάσις ἡ ΘΒ βάσει τῇ ΖΕ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΒΑΘ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΘΑΛ τῇ ὑπὸ ΖΔΓ ἐστιν ἴση [ἐπειδήπερ ἐὰν ἀπολάβωμεν ἴσας τὰς ΑΛ, ΔΓ καὶ ἐπιζεύξωμεν τὰς ΚΛ, ΘΛ, ΗΓ, ΖΓ, ἐπεὶ ὅλη ἡ ὑπὸ ΒΑΛ ὅλῃ τῇ ὑπὸ ΕΔΓ ἐστιν ἴση, ὧν ἡ ὑπὸ ΒΑΚ τῇ ὑπὸ ΕΔΗ ὑπόκειται ἴση, λοιπὴ ἄρα ἡ ὑπὸ ΚΑΛ λοιπῇ τῇ ὑπὸ ΗΔΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΚΑ, ΑΛ δυσὶ ταῖς ΗΔ, ΔΓ ἴσαι εἰσίν, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΚΛ βάσει τῇ ΗΓ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΚΘ τῇ ΗΖ ἴση· δύο δὴ αἱ ΛΚ, ΚΘ δυσὶ ταῖς ΓΗ, ΗΖ εἰσιν ἴσαι· καὶ γωνίας ὀρθὰς περιέχουσιν· βάσις ἄρα ἡ ΘΛ βάσει τῇ ΖΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΘΑ, ΑΛ δυσὶ ταῖς ΖΔ, ΔΓ εἰσιν ἴσαι, καὶ βάσις ἡ ΘΛ βάσει τῇ ΖΓ ἐστιν ἴση, γωνία ἄρα ἡ ὑπὸ ΘΑΛ γωνίᾳ τῇ ὑπὸ ΖΔΓ ἐστιν ἴση]. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΛ τῇ ὑπὸ ΕΔΓ ἴση.

Πρὸς ἄρα τῇ δοθείσῃ εὐθείᾳ τῇ ΑΒ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ δοθείσῃ στερεᾷ γωνίᾳ τῇ πρὸς τῷ Δ ἴση συνέσταται· ὅπερ ἔδει ποιῆσαι.

κζ'.

Ἀπὸ τῆς δοθείσης εὐθείας τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγράψαι.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν στερεὸν παραλληλεπίπεδον τὸ ΓΔ· δεῖ δὴ ἀπὸ τῆς δοθείσης εὐθείας τῆς ΑΒ τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ τῷ ΓΔ ὅμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγράψαι.

Συνεστάτω γὰρ πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ πρὸς τῷ Γ στερεᾷ γωνίᾳ ἴση ἡ περιεχομένη ὑπὸ τῶν ΒΑΘ, ΘΑΚ, ΚΑΒ, ὥστε ἴσην εἶναι τὴν μὲν ὑπὸ ΒΑΘ γωνίαν τῇ ὑπὸ ΕΓΖ, τὴν δὲ ὑπὸ ΒΑΚ τῇ ὑπὸ ΕΓΗ, τὴν δὲ ὑπὸ ΚΑΘ τῇ ὑπὸ ΗΓΖ· καὶ γεγονέτω ὡς μὲν ἡ ΕΓ πρὸς τὴν ΓΗ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΚ, ὡς δὲ ἡ ΗΓ πρὸς τὴν ΓΖ, οὕτως ἡ ΚΑ πρὸς τὴν ΑΘ. καὶ δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ ΕΓ πρὸς τὴν ΓΖ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΘ. καὶ συμπεπληρώσθω τὸ ΘΒ παραλληλόγραμμον καὶ τὸ ΑΛ στερεόν.



Καὶ ἐπεί ἐστιν ὡς ἡ ΕΓ πρὸς τὴν ΓΗ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΚ, καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ ΕΓΗ, ΒΑΚ αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα πλευραὶ αἱ ΑΚ, ΚΘ εἶναι ἴσαι πρὸς δύο τὰς ΔΗ, ΗΖ, καὶ περιέχουσιν ὀρθὰς γωνίας, ἡ βάσις ἄρα ΑΘ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΔ (Ι. 4). Εἶναι δὲ καὶ ΑΒ = ΔΕ· δύο λοιπὸν αἱ ΘΑ, ΑΒ εἶναι ἴσαι πρὸς δύο τὰς ΔΖ, ΔΕ. Καὶ ἡ βάσις ἄρα ΘΒ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΕ· ἡ γωνία ἄρα ΒΑΘ = ΕΔΖ (Ι. 8). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ γωνία ΘΑΛ = ΖΔΓ [διότι ἐὰν ληφθῇ ΑΛ = ΔΓ καὶ ἀχθῶσιν αἱ ΚΛ, ΘΛ, ΗΓ, ΖΓ, ἐπειδὴ ὅλη ἡ ΒΑΛ εἶναι ἴση πρὸς ὅλην τὴν ΕΔΓ, ἐξ ὧν ἐλήφθη ΒΑΚ = ΕΔΗ, ἡ λοιπὴ ἄρα ἡ ΚΑΛ εἶναι ἴση πρὸς τὴν λοιπὴν τὴν ΗΔΓ. Καὶ ἐπειδὴ δύο αἱ ΚΑ, ΑΛ εἶναι ἴσαι πρὸς δύο τὰς ΗΔ, ΔΓ καὶ περιέχουσιν ἴσας γωνίας, ἡ βάσις ἄρα ΚΛ εἶναι ἴση πρὸς τὴν βάσιν ΗΓ. Εἶναι δὲ καὶ ΚΘ = ΗΖ· δύο λοιπὸν αἱ ΛΚ, ΚΘ εἶναι ἴσαι πρὸς δύο τὰς ΓΗ, ΗΖ· καὶ περιέχουσι γωνίας ὀρθάς· ἡ βάσις ἄρα ΘΛ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΓ. Καὶ ἐπειδὴ δύο αἱ ΘΑ, ΑΛ εἶναι ἴσαι πρὸς δύο τὰς ΖΔ, ΔΓ καὶ ἡ βάσις ΘΛ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΓ, ἡ γωνία ἄρα ΘΑΛ = ΖΓΔ]· Εἶναι δὲ καὶ ἡ ΒΑΛ = ΕΔΓ.

'Επὶ τῆς δοθείσης ἄρα εὐθείας ΑΒ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον Α κατεσκευάσθη στερεὰ γωνία ἴση πρὸς τὴν δοθεῖσαν στερεὰν τὴν ἔχουσαν κορυφὴν τὸ Δ· ὅπερ ἔδει ποιῆσαι.

27.

'Από τῆς δοθείσης εὐθείας νὰ ἀναγραφῇ στερεὸν παραλληλεπίπεδον ὅμοιον καὶ ὁμοίως κείμενον πρὸς τὸ δοθὲν στερεὸν παραλληλεπίπεδον.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν στερεὸν παραλληλεπίπεδον τὸ ΓΔ· πρέπει ἀπὸ τῆς δοθείσης εὐθείας ΑΒ νὰ ἀναγραφῇ στερεὸν παραλληλεπίπεδον ὅμοιον καὶ ὁμοίως κείμενον πρὸς τὸ στερεὸν παραλληλεπίπεδον ΓΔ.

Διότι ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΑΒ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον Α στερεὰ γωνία ἡ περιεχομένη ὑπὸ τῶν γωνιῶν ΒΑΘ, ΘΑΚ, ΚΑΒ, ἴση πρὸς τὴν στερεὰν γωνίαν Γ, ὥστε ἡ μὲν ΒΑΘ = ΕΓΖ, ἡ δὲ ΒΑΚ = ΕΓΗ, ἡ δὲ ΚΑΘ = ΗΓΖ (θ. 26)· καὶ ἂς γίνῃ ΕΓ : ΓΗ = ΒΑ : ΑΚ καὶ ΗΓ : ΓΖ = ΚΑ : ΑΘ. Καὶ δι' ἴσου ἄρα εἶναι (διὰ πολλαπλασιασμοῦ κατὰ μέλη) ΕΓ : ΓΖ = ΒΑ : ΑΘ (V. 22). Καὶ ἂς συμπληρωθῇ τὸ παραλληλόγραμμον ΘΒ καὶ τὸ στερεὸν ΑΛ.

Καὶ ἐπειδὴ εἶναι ΕΓ : ΓΗ = ΒΑ : ΑΚ, καὶ αἱ περὶ τὰς ἴσας γωνίας τὰς ΕΓΗ, ΒΑΚ αἱ πλευραὶ εἶναι ἀνάλογοι, τὸ παραλληλόγραμμον ἄρα ΗΕ *ἐστὶ τὸ ΗΕ παραλληλόγραμμον τῷ ΚΒ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΚΘ παραλληλόγραμμον τῷ ΗΖ παραλληλογράμμῳ ὅμοιόν ἐστι καὶ ἔτι τὸ ΖΕ τῷ ΘΒ· τρία ἄρα παραλληλόγραμμα τοῦ ΓΔ στερεοῦ τρισὶ παραλληλογράμμοις τοῦ ΑΛ στερεοῦ ὅμοιά ἐστιν. ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα τέ ἐστι καὶ ὅμοια, τὰ δὲ τρία τρισὶ τοῖς ἀπεναντίον ἴσα τέ ἐστι καὶ ὅμοια· ὅλον ἄρα τὸ ΓΔ στερεὸν ὅλῳ τῷ ΑΛ στερεῷ ὅμοιόν ἐστιν.*

Ἀπὸ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ τῷ ΓΔ ὅμοιόν τε καὶ ὁμοίως κείμενον ἀναγέγραπται τὸ ΑΛ· ὅπερ ἔδει ποιῆσαι.

κη΄.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ τμηθῇ κατὰ τὰς διαγωνίους τῶν ἀπεναντίον ἐπιπέδων, δίχα τμηθήσεται τὸ στερεὸν ὑπὸ τοῦ ἐπιπέδου.

Στερεὸν γὰρ παραλληλεπίπεδον τὸ ΑΒ ἐπιπέδῳ τῷ ΓΔΕΖ τετμήσθω κατὰ τὰς διαγωνίους τῶν ἀπεναντίον ἐπιπέδων τὰς ΓΖ, ΔΕ· λέγω, ὅτι δίχα τμηθήσεται τὸ ΑΒ στερεὸν ὑπὸ τοῦ ΓΔΕΖ ἐπιπέδου.

Ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ μὲν ΓΗΖ τρίγωνον τῷ ΓΖΒ τριγώνῳ, τὸ δὲ ΑΔΕ τῷ ΔΕΘ, ἔστι δὲ καὶ τὸ μὲν ΓΑ παραλληλόγραμμον τῷ ΕΒ ἴσον· ἀπεναντίον γάρ· τὸ δὲ ΗΕ τῷ ΓΘ, καὶ τὸ πρίσμα ἄρα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΗΖ, ΑΔΕ, τριῶν δὲ παραλληλογράμμων τῶν ΗΕ, ΑΓ, ΓΕ ἴσον ἐστὶ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΖΒ, ΔΕΘ, τριῶν δὲ παραλληλογράμμων τῶν ΓΘ, ΒΕ, ΓΕ· ὑπὸ γὰρ ἴσων ἐπιπέδων περιέχονται τῷ τε πλήθει καὶ τῷ μεγέθει. ὥστε ὅλον τὸ ΑΒ στερεὸν δίχα τέτμηται ὑπὸ τοῦ ΓΔΕΖ ἐπιπέδου· ὅπερ ἔδει δεῖξαι.



κθ΄.

Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΑΒ στερεὰ παραλληλεπίπεδα τὰ ΓΜ, ΓΝ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ ΑΗ, ΑΖ, ΛΜ, ΛΝ, ΓΔ, ΓΕ, ΒΘ, ΒΚ ἐπὶ τῶν αὐτῶν εὐθειῶν ἔστωσαν τῶν ΖΝ, ΔΚ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΓΜ στερεὸν τῷ ΓΝ στερεῷ.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστιν ἑκάτερον τῶν ΓΘ, ΓΚ, ἴση ἐστὶν εἶναι ὅμοιον πρὸς τὸ παραλληλόγραμμον ΚΒ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ τὸ μὲν παραλληλόγραμμον ΚΘ εἶναι ὅμοιον πρὸς τὸ παραλληλόγραμμον ΗΖ καὶ ἀκόμη τὸ ΖΕ πρὸς τὸ ΘΒ· τρία ἄρα παραλληλόγραμμα τοῦ στερεοῦ ΓΔ εἶναι ὅμοια πρὸς τρία παραλληλόγραμμα τοῦ στερεοῦ ΑΛ. Ἀλλὰ τὰ μὲν τρία εἶναι ἴσα καὶ ὅμοια πρὸς τρία κείμενα ἀπέναντι, τὰ δὲ ἄλλα τρία εἶναι ἴσα καὶ ὅμοια πρὸς τρία κείμενα ἀπέναντι· ὅλον ἄρα τὸ στερεὸν ΓΔ εἶναι ὅμοιον πρὸς ὅλον τὸ στερεὸν ΑΛ.

Ἀπὸ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ ἀνεγράφη στερεὸν τὸ ΑΛ, ὅμοιον καὶ ὁμοίως κείμενον πρὸς τὸ δοθὲν στερεὸν παραλληλεπίπεδον τὸ ΓΔ· ὅπερ ἔδει ποιῆσαι.

28.

Ἐὰν στερεὸν παραλληλεπίπεδον τμηθῇ ὑπὸ ἐπιπέδου κατὰ τὰς διαγωνίους τῶν ἀπέναντι ἐπιπέδων, θὰ τμηθῇ τὸ στερεὸν ὑπὸ τοῦ ἐπιπέδου δίχα.

Διότι ἂς τμηθῇ τὸ παραλληλεπίπεδον ΑΒ ὑπὸ τοῦ ἐπιπέδου ΓΔΕΖ κατὰ τὰς διαγωνίους τῶν ἀπέναντι ἐπιπέδων τὰς ΓΖ, ΔΕ· λέγω, ὅτι τὸ στερεὸν ΑΒ θὰ τμηθῇ δίχα ὑπὸ τοῦ ἐπιπέδου ΓΔΕΖ.

Διότι ἐπειδὴ τὸ μὲν τρίγωνον ΓΗΖ = τρ. ΓΖΒ, τὸ δὲ ΑΔΕ = ΔΕΘ (Ι. 34), εἶναι δὲ καὶ τὸ παραλληλόγραμμον ΓΑ ἴσον πρὸς τὸ παραλληλόγραμμον ΕΒ· διότι κεῖται ἀπέναντι· τὸ δὲ ΗΕ = ΓΘ (θ. 24), καὶ τὸ πρίσμα ἄρα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΗΖ, ΑΔΕ, τριῶν δὲ παραλληλογράμμων τῶν ΗΕ, ΑΓ, ΓΕ εἶναι ἴσον πρὸς τὸ πρίσμα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΓΖΒ, ΔΕΘ, τριῶν δὲ παραλληλογράμμων τῶν ΓΘ, ΒΕ, ΓΕ· διότι περιέχονται ὑπὸ ἴσων ἐπιπέδων καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὸ μέγεθος (ὁρ. 10). Ὥστε ὅλον τὸ στερεὸν ΑΒ ἐτμήθη δίχα ὑπὸ τοῦ ἐπιπέδου ΓΔΕΖ· ὅπερ ἔδει δεῖξαι.

29.

Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, τῶν ὁποίων αἱ ἐκ τῆς βάσεως ἀκμαὶ καταλήγουσιν εἰς τὰς αὐτὰς εὐθείας, εἶναι πρὸς ἄλληλα ἴσα.

Ἔστω ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΑΒ τὰ στερεὰ παραλληλεπίπεδα ΓΜ, ΓΝ ὑπὸ τὸ αὐτὸ ὕψος τῶν ὁποίων αἱ ἐκ τῆς βάσεως ἀκμαὶ αἱ ΑΗ, ΑΖ, ΛΜ, ΛΝ, ΓΔ, ΓΕ, ΒΘ, ΒΚ ἔστω ὅτι καταλήγουσιν εἰς τὰς αὐτὰς εὐθείας τὰς ΖΝ, ΔΚ· λέγω, ὅτι τὸ στερεὸν ΓΜ εἶναι ἴσον πρὸς τὸ στερεὸν ΓΝ.

Διότι ἐπειδὴ ἑκάτερον τῶν ΓΘ, ΓΚ εἶναι παραλληλόγραμμον, ἡ ΓΒ ἡ ΓΒ ἑκατέρᾳ τῶν ΔΘ, ΕΚ· ὥστε καὶ ἡ ΔΘ τῇ ΕΚ ἐστιν ἴση. κοινὴ ἀφῃρήσθω ἡ ΕΘ· λοιπὴ ἄρα ἡ ΔΕ λοιπῇ τῇ ΘΚ ἐστιν ἴση. ὥστε καὶ τὸ μὲν ΔΓΕ τρίγωνον τῷ ΘΒΚ τριγώνῳ ἴσον ἐστίν, τὸ δὲ ΔΗ παραλληλόγραμμον τῷ ΘΝ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΖΗ τρίγωνον τῷ ΜΛΝ τριγώνῳ ἴσον ἐστίν. ἔστι δὲ καὶ τὸ μὲν ΓΖ πραλληλόγραμμον τῷ ΒΜ παραλληλογράμμῳ ἴσον, τὸ δὲ ΓΗ τῷ ΒΝ· ἀπεναντίον γάρ· καὶ τὸ πρίσμα ἄρα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΑΖΗ, ΔΓΕ, τριῶν δὲ παραλληλογράμμων τῶν ΑΔ, ΔΗ, ΓΗ ἴσον ἐστὶ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲ τριγώνων τῶν ΜΛΝ, ΘΒΚ, τριῶν δὲ παραλληλογράμμων τῶν ΒΜ, ΘΝ, ΒΝ. κοινὸν προσκείσθω τὸ στερεόν, οὗ βάσις μὲν τὸ ΑΒ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΗΕΘΜ· ὅλον ἄρα τὸ ΓΜ στερεὸν παραλληλεπίπεδον ὅλῳ τῷ ΓΝ στερεῷ παραλληλεπιπέδῳ ἴσον ἐστίν.



Τὰ ἄρα ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

λ'.

Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΑΒ στερεὰ παραλληλεπίπεδα τὰ ΓΜ, ΓΝ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ ΑΖ, ΑΗ, ΛΜ, ΛΝ, ΓΔ, ΓΕ, ΒΘ, ΒΚ μὴ ἔστωσαν ἐπὶ τῶν αὐτῶν εὐθειῶν· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΓΜ στερεὸν τῷ ΓΝ στερεῷ.

Ἐκβεβλήσθωσαν γὰρ αἱ ΝΚ, ΔΘ καὶ συμπιπτέτωσαν ἀλλήλαις κατὰ τὸ Ρ, καὶ ἔτι ἐκβεβλήσθωσαν αἱ ΖΜ, ΗΕ ἐπὶ τὰ Ο, Π, καὶ ἐπεζεύχθωσαν αἱ ΑΞ, ΛΟ, ΓΠ, ΒΡ. ἴσον δή ἐστι τὸ ΓΜ στερεόν, οὗ βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΖΔΘΜ, τῷ ΓΟ στερεῷ, οὗ βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΞΠΡΟ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς ΑΓΒΛ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν αἱ ἐφεστῶσαι αἱ ΑΖ, ΑΞ, ΛΜ, ΛΟ, ΓΔ, ΓΠ, ΒΘ, ΒΡ ἐπὶ τῶν αὐτῶν εἰσιν εὐθειῶν τῶν ΖΟ, ΔΡ. ἀλλὰ τὸ ΓΟ στερεόν, οὗ βάσις μέν ἐστι τὸ ΑΓΒΛ παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΞΠΡΟ, ἴσον ἐστὶ τῷ ΓΝ στερεῷ, οὗ βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμμον,



Ἤχθω δὴ ἀπὸ τοῦ Α σημείου τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς ἡ ΑΗ, καὶ κείσθω ἡ ΑΗ ἴση τῇ ΑΒ, καὶ ἐπεζεύχθω ἡ ΗΓ, καὶ ἀπὸ τοῦ Θ ἐπὶ τὴν ΑΒ κάθετος ἤχθω ἡ ΘΚ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΗΑ τῆς ΑΓ· ἴση γὰρ ἡ ΗΑ τῇ ΑΒ. ὡς δὲ ἡ ΗΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΘΚ πρὸς τὴν ΚΓ, διπλῆ ἄρα καὶ ἡ ΘΚ τῆς ΚΓ. τετραπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΘΚ τοῦ ἀπὸ τῆς ΚΓ· τὰ ἄρα ἀπὸ τῶν ΘΚ, ΚΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΘΓ, πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΚΓ. ἴση δὲ ἡ ΘΓ τῇ ΓΒ· πενταπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΚ· καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΒ τῆς ΓΒ, ὧν ἡ ΑΔ τῆς ΔΒ ἐστι διπλῆ, λοιπὴ ἄρα ἡ ΒΔ λοιπῆς τῆς ΔΓ ἐστι διπλῆ. τριπλῆ ἄρα ἡ ΒΓ τῆς ΓΔ· ἐνναπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΔ. πενταπλάσιον δὲ τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΚ. μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΓΚ τοῦ ἀπὸ τῆς ΓΔ. μείζων ἄρα ἐστὶν ἡ ΓΚ τῆς ΓΔ. κείσθω τῇ ΓΚ ἴση ἡ ΓΛ, καὶ ἀπὸ τοῦ Λ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθω ἡ ΛΜ, καὶ ἐπεζεύχθω ἡ ΜΒ. καὶ ἐπεὶ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΓΚ, καί ἐστι τῆς μὲν ΒΓ διπλῆ ἡ ΑΒ, τῆς δὲ ΓΚ διπλῆ ἡ ΚΛ, πενταπλάσιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΚΛ. ἔστι δὲ καὶ ἡ τῆς σφαίρας διάμετρος δυνάμει πενταπλασίων τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, ἀφ' οὗ τὸ εἰκοσάεδρον ἀναγέγραπται. καί ἐστιν ἡ ΑΒ ἡ τῆς σφαίρας διάμετρος· ἡ ΚΛ ἄρα ἐκ τοῦ κέντρου ἐστὶ τοῦ κύκλου, ἀφ' οὗ τὸ εἰκοσάεδρον ἀναγέγραπται· ἡ ΚΛ ἄρα ἑξαγώνου ἐστὶ πλευρὰ τοῦ εἰρημένου κύκλου. καὶ ἐπεὶ ἡ τῆς σφαίρας διάμετρος σύγκειται ἔκ τε τῆς τοῦ ἑξαγώνου καὶ δύο τῶν τοῦ δεκαγώνου τῶν εἰς τὸν εἰρημένον κύκλον ἐγγραφομένων, καί ἐστιν ἡ μὲν ΑΒ ἡ τῆς σφαίρας διάμετρος, ἡ δὲ ΚΛ ἑξαγώνου πλευρά, καὶ ἴση ἡ ΑΚ τῇ ΛΒ, ἑκατέρα ἄρα τῶν ΑΚ, ΛΒ δεκαγώνου ἐστὶ πλευρὰ τοῦ ἐγγραφομένου εἰς τὸν κύκλον, ἀφ' οὗ τὸ εἰκοσάεδρον ἀναγέγραπται. καὶ ἐπεὶ δεκαγώνου μὲν ἡ ΛΒ, ἑξαγώνου δὲ ἡ ΜΛ· ἴση γάρ ἐστι τῇ ΚΛ, ἐπεὶ καὶ τῇ ΘΚ· ἴσον γὰρ ἀπέχουσιν ἀπὸ τοῦ κέντρου· καί ἐστιν ἑκατέρα τῶν ΘΚ, ΚΛ διπλασίων τῆς ΚΓ· πενταγώνου ἄρα ἐστὶν ἡ ΜΒ. ἡ δὲ τοῦ πενταγώνου ἐστὶν ἡ τοῦ εἰκοσαέδρου· εἰκοσαέδρου ἄρα ἐστὶν ἡ ΜΒ.

Καὶ ἐπεὶ ἡ ΖΒ κύβου ἐστὶ πλευρά, τετμήσθω ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ν, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΝΒ· ἡ ΝΒ ἄρα δωδεκαέδρου ἐστὶ πλευρά.

Καὶ ἐπεὶ ἡ τῆς σφαίρας διάμετρος ἐδείχθη τῆς μὲν ΑΖ πλευρᾶς τῆς πυραμίδος δυνάμει ἡμιολία, τῆς δὲ τοῦ ὀκταέδρου τῆς ΒΕ δυνάμει διπλασίων, τῆς δὲ τοῦ κύβου τῆς ΖΒ δυνάμει τριπλασίων, οἵων ἄρα ἡ τῆς σφαίρας διάμετρος δυνάμει ἕξ, τοιούτων ἡ μὲν τῆς πυραμίδος τεσσάρων, ἡ δὲ τοῦ ὀκταέδρου τριῶν, ἡ δὲ τοῦ κύβου δύο. ἡ μὲν ἄρα τῆς πυραμίδος πλευρὰ τῆς μὲν τοῦ ὀκταέδρου πλευρᾶς δυνάμει ἐστὶν ἐπίτριτος, τῆς δὲ τοῦ κύβου δυνάμει διπλῆ, ἡ δὲ τοῦ ὀκταέδρου τῆς τοῦ κύβου δυνάμει ἡμιολία. αἱ μὲν οὖν εἰρημέναι τῶν τριῶν σχημάτων πλευραί, λέγω δὴ πυραμίδος καὶ ὀκταέδρου καὶ κύβου, πρὸς ἀλ-

γώνου τῆς πλευρᾶς τοῦ ὀκταέδρου (θ. 14). Καὶ εἶναι ἡ ΑΒ ἡ διάμετρος τῆς σφαίρας· ἡ ΒΕ ἄρα εἶναι πλευρὰ τοῦ ὀκταέδρου.

Ἂς ἀχθῇ τώρα ἀπὸ τοῦ σημείου Α κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΑΗ, καὶ ἂς ληφθῇ ἡ ΑΗ $=$ ΑΒ, καὶ ἂς ἀχθῇ ἡ ΗΓ, καὶ ἀπὸ τοῦ Θ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΘΚ. Καὶ ἐπειδὴ ἡ ΗΑ $=$ 2ΑΓ· διότι ἡ ΗΑ $=$ ΑΒ· εἶναι δὲ ΗΑ : ΑΓ $=$ ΘΚ : ΚΓ (VI. 4), εἶναι ἄρα καὶ ἡ ΘΚ $=$ 2ΚΓ. Ἄρα εἶναι τὸ $\Theta K^2 = 4K\Gamma^2$· εἶναι ἄρα τὰ $\Theta K^2 + \Gamma K^2$, τὸ ὁποῖον εἶναι τὸ $\Theta\Gamma^2 = 5K\Gamma^2$ (I. 47). Εἶναι δὲ ἡ ΘΓ $=$ ΓΒ· εἶναι ἄρα τὸ $B\Gamma^2 = 5\Gamma K^2$. Καὶ ἐπειδὴ ἡ ΑΒ $=$ 2ΓΒ, ἐξ ὧν ἡ ΑΔ $=$ 2ΔΒ, ἡ λοιπὴ ἄρα ἡ ΒΔ εἶναι διπλασία τῆς λοιπῆς τῆς ΔΓ. Εἶναι ἄρα ἡ ΒΓ $=$ 3ΓΔ· εἶναι ἄρα τὸ $B\Gamma^2 = 9\ \Gamma\Delta^2$. Εἶναι δὲ τὸ $B\Gamma^2 = 5\Gamma K^2$· εἶναι ἄρα τὸ $\Gamma K^2 >$ τοῦ $\Gamma\Delta^2$. Εἶναι ἄρα ἡ ΓΚ $>$ ΓΔ. Ἂς ληφθῇ ἡ ΓΛ $=$ ΓΚ, καὶ ἀπὸ τοῦ Λ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΛΜ, καὶ ἂς ἀχθῇ ἡ ΜΒ. Καὶ ἐπειδὴ τὸ $B\Gamma^2 = 5\Gamma K^2$, καὶ εἶναι τῆς μὲν ΒΓ διπλασία ἡ ΑΒ, τῆς δὲ ΓΚ διπλασία ἡ ΚΛ, εἶναι ἄρα τὸ $AB^2 = 5K\Lambda^2$. Εἶναι δὲ καὶ τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας πενταπλάσιον τοῦ τετραγώνου τῆς ἀκτῖνος τοῦ κύκλου, ἀφ' οὗ ἀνεγράφη τὸ εἰκοσάεδρον (θ. 16 πόρ.). Καὶ εἶναι ἡ ΑΒ ἡ διάμετρος τῆς σφαίρας· ἡ ΚΛ ἄρα εἶναι ἀκτὶς τοῦ κύκλου, ἀφ' οὗ ἀνεγράφη τὸ εἰκοσάεδρον· ἡ ΚΛ ἄρα εἶναι πλευρὰ ἑξαγώνου ἐγγραφομένου εἰς τὸν εἰρημένον κύκλον (4. 15, πόρ.). Καὶ ἐπειδὴ ἡ διάμετρος τῆς σφαίρας σύγκειται ἐκ τῆς πλευρᾶς τοῦ ἑξαγώνου καὶ δύο πλευρῶν τοῦ δεκαγώνου, τῶν ἐγγραφομένων εἰς τὸν εἰρημένον κύκλον (θ. 16 πόρ.), καὶ εἶναι ἡ μὲν ΑΒ ἡ διάμετρος τῆς σφαίρας, ἡ δὲ ΚΛ ἡ πλευρὰ τοῦ ἑξαγώνου, καὶ ἡ ΑΚ $=$ ΛΒ, εἶναι ἄρα ἑκατέρα τῶν ΑΚ, ΛΒ πλευρὰ τοῦ δεκαγώνου τοῦ ἐγγραφομένου εἰς τὸν κύκλον, ἀφ' οὗ ἀνεγράφη τὸ εἰκοσάεδρον. Καὶ ἐπειδὴ ἡ μὲν ΛΒ εἶναι πλευρὰ δεκαγώνου, ἑξαγώνου δὲ ἡ ΜΛ· διότι εἶναι ἴση πρὸς τὴν ΚΛ, ἐπειδὴ εἶναι ἴση καὶ πρὸς τὴν ΘΚ· διότι ἀπέχουσιν ἴσον ἀπὸ τοῦ κέντρου· καὶ εἶναι ἑκατέρα τῶν ΘΚ, ΚΛ διπλασία τῆς ΚΓ· εἶναι ἄρα ἡ ΜΒ πλευρὰ πενταγώνου (θεώρ. X καὶ I. 47). Ἡ δὲ πλευρὰ τοῦ πενταγώνου εἶναι πλευρὰ τοῦ εἰκοσαέδρου (θ. 16)· εἶναι ἄρα ἡ ΜΒ πλευρὰ εἰκοσαέδρου.

Καὶ ἐπειδὴ ἡ ΖΒ εἶναι πλευρὰ κύβου, ἂς τμηθῇ ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Ν, καὶ ἔστω μεγαλύτερον τμῆμα τὸ ΝΒ· ἡ ΝΒ ἄρα εἶναι πλευρὰ δωδεκαέδρου (θ. 17. πόρ.).

Καὶ ἐπειδὴ ἐδείχθη ὅτι τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας εἶναι τὰ τρία δεύτερα μὲν τοῦ τετραγώνου τῆς πλευρᾶς ΑΖ τῆς πυραμίδος, διπλάσιον δὲ τοῦ τετραγώνου τῆς πλευρᾶς ΒΕ τοῦ ὀκταέδρου, τριπλάσιον δὲ τοῦ τετραγώνου τῆς πλευρᾶς ΖΒ τοῦ κύβου, ἐὰν εἶναι ἄρα τὸ τετράγωνον τῆς διαμέτρου τῆς σφαίρας ἴσον μὲ ἓξ τετράγωνα, τὸ τετράγωνον μὲν τῆς πλευρᾶς τῆς πυραμίδος εἶναι ἴσον μὲ τέσσαρα τοιαῦτα τετράγωνα, τὸ τετράγωνον δὲ τῆς πλευρᾶς τοῦ ὀκταέδρου ἴσον μὲ τρία τοιαῦτα τετράγωνα, καὶ τὸ τετράγωνον τῆς πλευρᾶς τοῦ κύβου ἴσον μὲ δύο τοιαῦτα τετράγωνα. Εἶναι ἄρα τὸ μὲν τε-

λήλας εἰσὶν ἐν λόγοις ῥητοῖς. αἱ δὲ λοιπαὶ δύο, λέγω δὴ ἥ τε τοῦ εἰκοσαέδρου καὶ ἡ τοῦ δωδεκαέδρου, οὔτε πρὸς ἀλλήλας οὔτε πρὸς τὰς προειρημένας εἰσὶν ἐν λόγοις ῥητοῖς· ἄλογοι γάρ εἰσιν, ἡ μὲν ἐλάττων, ἡ δὲ ἀποτομή.

Ὅτι μείζων ἐστὶν ἡ τοῦ εἰκοσαέδρου πλευρὰ ἡ ΜΒ τῆς τοῦ δωδεκαέδρου τῆς ΝΒ, δείξομεν οὕτως.

Ἐπεὶ γὰρ ἰσογώνιόν ἐστι τὸ ΖΔΒ τρίγωνον τῷ ΖΑΒ τριγώνῳ, ἀνάλογόν ἐστιν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΖ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΒΑ. καὶ ἐπεὶ τρεῖς εὐθεῖαι ἀνάλογόν εἰσιν, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ, οὕτως τὸ ἀπὸ τῆς ΔΒ πρὸς τὸ ἀπὸ τῆς ΒΖ· ἀνάπαλιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ, οὕτως τὸ ἀπὸ τῆς ΖΒ πρὸς τὸ ἀπὸ τῆς ΒΔ. τριπλῆ δὲ ἡ ΑΒ τῆς ΒΔ· τριπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΖΒ τοῦ ἀπὸ τῆς ΒΔ. ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΑΔ τοῦ ἀπὸ τῆς ΔΒ τετραπλάσιον· διπλῆ γὰρ ἡ ΑΔ τῆς ΔΒ· μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΑΔ τοῦ ἀπὸ τῆς ΖΒ· μείζων ἄρα ἡ ΑΔ τῆς ΖΒ· πολλῷ ἄρα ἡ ΑΛ τῆς ΖΒ μείζων ἐστίν. καὶ τῆς μὲν ΑΛ ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΚΛ, ἐπειδήπερ ἡ μὲν ΛΚ ἑξαγώνου ἐστίν, ἡ δὲ ΚΑ δεκαγώνου· τῆς δὲ ΖΒ ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΝΒ· μείζων ἄρα ἡ ΚΛ τῆς ΝΒ. ἴση δὲ ἡ ΚΛ τῇ ΛΜ· μείζων ἄρα ἡ ΛΜ τῆς ΝΒ [τῆς δὲ ΛΜ μείζων ἐστὶν ἡ ΜΒ]. πολλῷ ἄρα ἡ ΜΒ πλευρὰ οὖσα τοῦ εἰκοσαέδρου μείζων ἐστὶ τῆς ΝΒ πλευρᾶς οὔσης τοῦ δωδεκαέδρου· ὅπερ ἔδει δεῖξαι.

Λέγω δή, ὅτι παρὰ τὰ εἰρημένα πέντε σχήματα οὐ συσταθήσεται ἕτερον σχῆμα περιεχόμενον ὑπὸ ἰσοπλεύρων τε καὶ ἰσογωνίων ἴσων ἀλλήλοις.

Ὑπὸ μὲν γὰρ δύο τριγώνων ἢ ὅλως ἐπιπέδων στερεὰ γωνία οὐ συνίσταται. ὑπὸ δὲ τριῶν τριγώνων ἡ τῆς πυραμίδος, ὑπὸ δὲ τεσσάρων ἡ τοῦ ὀκταέδρου, ὑπὸ δὲ πέντε ἡ τοῦ εἰκοσαέδρου· ὑπὸ δὲ ἓξ τριγώνων ἰσοπλεύρων τε καὶ ἰσογωνίων πρὸς ἑνὶ σημείῳ συνισταμένων οὐκ ἔσται στερεὰ γωνία· οὔσης γὰρ τῆς τοῦ ἰσοπλεύρου τριγώνου γωνίας διμοίρου ὀρθῆς ἔσονται αἱ ἓξ τέσσαρσιν ὀρθαῖς ἴσαι· ὅπερ ἀδύνατον· ἅπασα γὰρ στερεὰ γωνία ὑπὸ ἐλασσόνων ἢ τεσσάρων ὀρθῶν περιέχεται. διὰ τὰ αὐτὰ δὴ οὐδὲ ὑπὸ πλειόνων ἢ ἓξ γωνιῶν ἐπιπέδων στερεὰ γωνία συνίσταται. ὑπὸ δὲ τετραγώνων τριῶν ἡ τοῦ κύβου γωνία περιέχεται· ὑπὸ δὲ τεσσάρων ἀδύνατον· ἔσονται γὰρ πάλιν τέσσαρες ὀρθαί. ὑπὸ δὲ τράγωνον τῆς πλευρᾶς τῆς πυραμίδος τὰ τέσσαρα τρίτα μὲν τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ ὀκταέδρου, διπλάσιον δὲ τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ κύβου, τὸ δὲ τετράγωνον τῆς πλευρᾶς τοῦ ὀκταέδρου εἶναι τὰ τρία δεύτερα τοῦ τετραγώνου τῆς πλευρᾶς τοῦ κύβου. Αἱ μὲν λοιπὸν εἰρημέναι πλευραὶ τῶν τριῶν σχημάτων, ἐννοῶ δηλαδὴ τῆς πυραμίδος, καὶ τοῦ ὀκταέδρου καὶ τοῦ κύβου, εἶναι πρὸς ἀλλήλας εἰς ῥητοὺς λόγους. Αἱ δὲ λοιπαὶ δύο, ἐννοῶ δηλαδὴ καὶ τὴν πλευρὰν τοῦ εἰκοσαέδρου καὶ τὴν τοῦ δωδεκαέδρου, οὔτε πρὸς ἀλλήλας οὔτε πρὸς τὰς προειρημένας εἶναι εἰς λόγους ῥητούς· διότι εἶναι ἄρρητοι, ἡ μὲν ὡς ἐλάσσων (θ. 16), ἡ δὲ ὡς ἀποτομὴ (θ. 17).

Ὅτι ἡ πλευρὰ τοῦ εἰκοσαέδρου ἡ ΜΒ εἶναι μεγαλυτέρα τῆς πλευρᾶς τοῦ δωδεκαέδρου τῆς ΝΒ, ἀποδεικνύομεν ὡς ἑξῆς.

Διότι, ἐπειδὴ τὸ τρίγωνον ΖΔΒ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΖΑΒ, (VI. 8), ἰσχύει ἡ ἀναλογία $\Delta B : BZ = BZ : BA$ (VI. 4). Καὶ ἐπειδὴ τρεῖς εὐθεῖαι εἶναι ἀνάλογοι, εἶναι ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ τετράγωνον τῆς πρώτης πρὸς τὸ τετράγωνον τῆς δευτέρας (V. ὁρ. 9)· εἶναι ἄρα ὡς ἡ $\Delta B : BA = \Delta B^2 : BZ^2$· ἀνάπαλιν ἄρα εἶναι ὡς ἡ $AB : B\Delta = ZB^2 : B\Delta^2$. Εἶναι δὲ ἡ $AB = 3\ B\Delta$· εἶναι ἄρα τὸ $ZB^2 = 3\ B\Delta^2$. Εἶναι δὲ καὶ τὸ $A\Delta^2 = 4\ \Delta B^2$· διότι ἡ $A\Delta = 2\Delta B$· εἶναι ἄρα τὸ $A\Delta^2 > $ τοῦ ZB^2· εἶναι ἄρα $A\Delta > ZB$· κατὰ μείζονα ἄρα λόγον εἶναι ἡ $A\Lambda > ZB$. Καὶ ὅταν μὲν ἡ ΑΛ τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΚΛ, ἐπειδὴ βεβαίως ἡ ΛΚ εἶναι πλευρὰ ἑξαγώνου, ἡ δὲ ΚΑ πλευρὰ δεκαγώνου (θ. 9)· ὅταν δὲ ἡ ΖΒ τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΝΒ· εἶναι ἄρα ἡ $K\Lambda > NB$. Εἶναι δὲ ἡ $K\Lambda = \Lambda M$· εἶναι ἄρα ἡ $\Lambda M > NB$ [τῆς δὲ ΛΜ εἶναι μεγαλυτέρα ἡ ΜΒ]. Κατὰ μείζονα ἄρα λόγον ἡ ΜΒ οὖσα πλευρὰ τοῦ εἰκοσαέδρου εἶναι μεγαλυτέρα τῆς ΝΒ, ἡ ὁποία εἶναι πλευρὰ τοῦ δωδεκαέδρου· ὅπερ ἔδει δεῖξαι.

Λέγω τώρα, ὅτι ἐκτὸς τῶν εἰρημένων πέντε σχημάτων οὐδὲν ἄλλο σχῆμα κατασκευάζεται περιεχόμενον ὑπὸ ἰσοπλεύρων καὶ ἰσογωνίων ἴσων πρὸς ἄλληλα.

Διότι ὑπὸ δύο μὲν τριγώνων ἢ ἐν γένει ἐπιπέδων δὲν κατασκευάζεται (τρίεδρος) στερεὰ γωνία (XI. ὁρισ. 11). Ὑπὸ δὲ τριῶν τριγώνων κατασκευάζεται ἡ στερεὰ γωνία τῆς πυραμίδος, ὑπὸ δὲ τεσσάρων ἡ τοῦ ὀκταέδρου, ὑπὸ δὲ πέντε ἡ τοῦ εἰκοσαέδρου· ὑπὸ δὲ ἓξ τριγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων συνερχομένων πρὸς ἓν σημεῖον δὲν ὑπάρχει στερεὰ γωνία· διότι, ἐπειδὴ ἡ γωνία τοῦ ἰσοπλεύρου τριγώνου εἶναι δύο τρίτα ὀρθῆς, θὰ εἶναι αἱ ἓξ ἴσαι πρὸς τέσσαρας ὀρθάς· ὅπερ ἀδύνατον· διότι πᾶσα στερεὰ γωνία περιέχεται ὑπὸ μικροτέρων ἢ τεσσάρων ὀρθῶν (XI. 21). Διὰ τοὺς αὐτοὺς λόγους οὐδὲ ὑπὸ περισσοτέρων τῶν ἓξ ἐπιπέδων γωνιῶν εἶναι δυνατὸν νὰ κατασκευασθῇ στερεὰ *πενταγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων, ὑπὸ μὲν τριῶν ἡ τοῦ δωδεκαέδρου· ὑπὸ δὲ τεσσάρων ἀδύνατον· οὔσης γὰρ τῆς τοῦ πενταγώνου ἰσοπλεύρου γωνίας ὀρθῆς καὶ πέμπτου, ἔσονται αἱ τέσσαρες γωνίαι τεσσάρων ὀρθῶν μείζους· ὅπερ ἀδύνατον. οὐδὲ μὴν ὑπὸ πολυγώνων ἑτέρων σχημάτων περισχεθήσεται στερεὰ γωνία διὰ τὸ αὐτὸ ἄτοπον.*

Οὐκ ἄρα παρὰ τὰ εἰρημένα πέντε σχήματα ἕτερον σχῆμα στερεὸν συσταθήσεται ὑπὸ ἰσοπλεύρων τε καὶ ἰσογωνίων περιεχόμενον· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα.

Ὅτι δὲ ἡ τοῦ ἰσοπλεύρου καὶ ἰσογωνίου πενταγώνου γωνία ὀρθή ἐστι καὶ πέμπτου, οὕτω δεικτέον.

Ἔστω γὰρ πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ, καὶ περιγεγράφθω περὶ αὐτὸ κύκλος ὁ ΑΒΓΔΕ, καὶ εἰλήφθω αὐτοῦ τὸ κέντρον τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ. δίχα ἄρα τέμνουσι τὰς πρὸς τοῖς Α, Β, Γ, Δ, Ε τοῦ πενταγώνου γωνίας. καὶ ἐπεὶ αἱ πρὸς τῷ Ζ πέντε γωνίαι τέσσαρσιν ὀρθαῖς ἴσαι εἰσὶ καί εἰσιν ἴσαι, μία ἄρα αὐτῶν, ὡς ἡ ὑπὸ ΑΖΒ, μιᾶς ὀρθῆς ἐστι παρὰ πέμπτον· λοιπαὶ ἄρα αἱ ὑπὸ ΖΑΒ, ΑΒΖ μιᾶς εἰσιν ὀρθῆς καὶ πέμπτου. ἴση δὲ ἡ ὑπὸ ΖΑΒ τῇ ὑπὸ ΖΒΓ· καὶ ὅλη ἄρα ἡ ὑπὸ ΑΒΓ τοῦ πενταγώνου γωνία μιᾶς ἐστιν ὀρθῆς καὶ πέμπτου· ὅπερ ἔδει δεῖξαι.



auf $\frac{6}{5}$ gleich Rechten

γωνία. Ὑπὸ τριῶν δὲ τετραγώνων περιέχεται ἡ γωνία τοῦ κύβου· ὑπὸ δὲ τεσσάρων ἀδύνατον· διότι θὰ εἶναι πάλιν τέσσαρες ὀρθαί. Ὑπὸ δὲ πενταγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων, ὑπὸ μὲν τριῶν περιέχεται ἡ γωνία τοῦ δωδεκαέδρου· ὑπὸ δὲ τεσσάρων εἶναι ἀδύνατον νὰ περιέχεται· διότι, ἐπειδὴ ἡ γωνία τοῦ ἰσοπλεύρου πενταγώνου εἶναι μία καὶ ἓν πέμπτον ὀρθῆς, θὰ εἶναι αἱ τέσσαρες γωνίαι μεγαλύτεραι τῶν τεσσάρων ὀρθῶν· ὅπερ ἀδύνατον. Ὅμως οὐδὲ ὑπὸ ἑτέρων πολυγώνων σχημάτων εἶναι δυνατὸν νὰ σχηματισθῇ στερεὰ γωνία διὰ τὸ αὐτὸ ἄτοπον.

Δὲν κατασκευάζεται ἄρα ἄλλο στερεὸν σχῆμα περιεχόμενον ὑπὸ ἰσοπλεύρων καὶ ἰσογωνίων σχημάτων ἐκτὸς τῶν εἰρημένων πέντε σχημάτων· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα.

Ὅτι δὲ ἡ γωνία τοῦ ἰσοπλεύρου καὶ ἰσογωνίου πενταγώνου εἶναι μία καὶ ἓν πέμπτον ὀρθῆς, ἀποδεικνύεται ὡς ἑξῆς.

Διότι ἔστω πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ, καὶ ἂς περιγραφῇ περὶ αὐτὸ κύκλος ὁ ΑΒΓΔΕ (IV. 14), καὶ ἂς ληφθῇ αὐτοῦ τὸ κέντρον τὸ Ζ (III. 1), καὶ ἂς ἀχθῶσιν αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ. Ἄρα τέμνουσιν αὗται τὰς παρὰ τὰ Α, Β, Γ, Δ, Ε γωνίας τοῦ πενταγώνου δίχα. Καὶ ἐπειδὴ αἱ παρὰ τὸ Ζ γωνίαι εἶναι ἴσαι καὶ ἰσοῦνται πρὸς τέσσαρας ὀρθάς, μία ἄρα ἐξ αὐτῶν, ὡς ἡ ΑΖΒ εἶναι μία ὀρθὴ μεῖον ἓν πέμπτον· αἱ λοιπαὶ ἄρα αἱ ΖΑΒ + ΑΒΖ εἶναι μία ὀρθὴ καὶ ἓν πέμπτον. Εἶναι δὲ ἴση ἡ ΖΑΒ πρὸς τὴν ΖΒΓ· καὶ ὅλη ἄρα ἡ γωνία ΑΒΓ τοῦ πενταγώνου εἶναι μία ὀρθὴ καὶ ἓν πέμπτον· ὅπερ ἔδει δεῖξαι.

ΠΑΡΑΡΤΗΜΑ I.

ΕΤΕΡΑΙ ΑΠΟΔΕΙΞΕΙΣ

1.

Εἰς βιβλ. XI θεώρ. 22

Ἄλλως.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς γωνίαι ἐπίπεδοι αἱ ὑπὸ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, ὧν αἱ δύο τῆς λοιπῆς μείζονες ἔστωσαν πάντῃ μεταλαμβανόμεναι, περιεχέτωσαν δὲ αὐτὰς ἴσαι εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΔΖ, ΗΚ. λέγω, ὅτι δυνατόν ἐστιν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι, τουτέστι πάλιν ὅτι αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι.

εἰ μὲν οὖν πάλιν αἱ πρὸς τοῖς Β, Ε, Θ σημείοις γωνίαι ἴσαι εἰσίν, ἴσαι ἔσονται καὶ αἱ ΑΓ, ΔΖ, ΗΚ, καὶ ἔσονται αἱ δύο τῆς λοιπῆς μείζονες. εἰ δὲ οὔ,



ἔστωσαν ἄνισοι αἱ πρὸς τοῖς Β, Ε, Θ σημείοις γωνίαι, καὶ μείζων ἡ πρὸς τῷ Β ἑκατέρας τῶν πρὸς τοῖς Ε, Θ· μείζων ἄρα ἔσται καὶ ἡ ΑΓ εὐθεῖα ἑκατέρας τῶν ΔΖ, ΗΚ. καὶ φανερόν, ὅτι ἡ ΑΓ μετὰ ἑκατέρας τῶν ΔΖ, ΗΚ τῆς λοιπῆς μείζονές εἰσι. λέγω, ὅτι καὶ αἱ ΔΖ, ΗΚ τῆς ΑΓ μείζονές εἰσι: συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ ὑπὸ ΗΘΚ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΛ, καὶ κείσθω μιᾷ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἴση ἡ ΒΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΛ, ΛΓ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΛ δυσὶ ταῖς ΗΘ, ΘΚ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΑΛ βάσει τῇ ΗΚ ἴση ἐστίν. καὶ ἐπεὶ αἱ πρὸς τοῖς Ε, Θ σημείοις γωνίαι τῆς ὑπὸ ΑΒΓ μείζονές εἰσιν, ὧν ἡ ὑπὸ ΗΘΚ τῇ ὑπὸ ΑΒΛ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ πρὸς τῷ Ε γωνία τῆς ὑπὸ ΛΒΓ μείζων ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΛΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΔΕΖ γωνίας τῆς ὑπὸ ΛΒΓ μείζων, βάσις ἄρα ἡ ΔΖ βάσεως τῆς ΛΓ μείζων ἐστίν. ἴση δὲ ἐδείχθη ἡ ΗΚ τῇ ΑΛ· αἱ ἄρα ΔΖ, ΗΚ τῶν ΑΛ, ΛΓ μείζονές εἰσιν· ἀλλὰ αἱ ΑΛ, ΛΓ τῆς ΑΓ μείζονές

ΑΛΛΑΙ ΑΠΟΔΕΙΞΕΙΣ

1.

Εἰς τὸ βιβλίον XI θεώρ. 22.

Ἄλλως.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς ἐπίπεδοι γωνίαι αἱ ΑΒΓ, ΔΕΖ, ΗΘΚ, τῶν ὁποίων αἱ δύο ἔστωσαν μεγαλύτεραι τῆς ἄλλης καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται, ἂς περιέχωσι δὲ αὐτὰς ἴσαι εὐθεῖαι, αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΓ, ΔΖ, ΗΚ. Λέγω, ὅτι εἶναι δυνατὸν ἐκ τῶν ἴσων πρὸς τὰς ΑΓ, ΔΖ, ΗΓ νὰ κατασκευασθῇ τρίγωνον, τουτέστι πάλιν ὅτι αἱ δύο εἶναι μεγαλύτεραι τῆς ἄλλης καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται.

Ἐὰν μὲν λοιπὸν πάλιν αἱ παρὰ τὰ σημεῖα, Β, Ε, Θ γωνίαι εἶναι ἴσαι, θὰ εἶναι ἴσαι καὶ αἱ ΑΓ, ΔΖ, ΗΚ, καὶ θὰ εἶναι αἱ δύο μεγαλύτεραι τῆς λοιπῆς. Ἐὰν δὲ ὄχι, ἔστωσαν ἄνισοι αἱ παρὰ τὰ σημεῖα Β, Ε, Θ γωνίαι καὶ μεγαλυτέρα ἡ παρὰ τὸ Β ἑκατέρας τῶν παρὰ τὰ σημεῖα Ε, Θ· θὰ εἶναι ἄρα καὶ ἡ εὐθεῖα ΑΓ μεγαλυτέρα ἑκατέρας τῶν ΔΖ, ΗΚ (Ι. 24). Καὶ εἶναι φανερόν, ὅτι ἡ ΑΓ $+ ΔΖ > ΗΚ$ καὶ $ΑΓ + ΗΚ > ΔΖ$. Λέγω, ὅτι καὶ αἱ $ΔΖ + ΗΚ > ΑΓ$. Διότι ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΑΒ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον τὸ Β, ἡ γωνία ΑΒΛ ἴση πρὸς τὴν γωνίαν ΗΘΚ (Ι. 23), καὶ ἂς ληφθῇ πρὸς μίαν τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ, ΗΘ, ΘΚ ἴση ἡ ΒΛ, καὶ ἂς ἀχθῶσιν αἱ ΑΛ, ΛΓ. Καὶ ἐπειδὴ δύο αἱ ΑΒ, ΒΛ πρὸς δύο τὰς ΗΘ, ΘΚ εἶναι ἴσαι ἀντιστοίχως, καὶ περιέχουσιν ἴσας γωνίας, ἡ βάσις ἄρα ἡ ΑΛ εἶναι ἴση πρὸς τὴν βάσιν ΗΚ (Ι. 4). Καὶ ἐπειδὴ αἱ παρὰ τὰ σημεῖα Ε, Θ γωνίαι εἶναι μεγαλύτεραι τῆς ΑΒΓ, τῶν ὁποίων ἡ $ΗΘΚ = ΑΒΛ$, ἡ λοιπὴ ἄρα ἡ παρὰ τὸ Ε γωνία εἶναι μεγαλυτέρα τῆς ΛΒΓ. Καὶ ἐπειδὴ δύο αἱ ΛΒ, ΒΓ εἶναι ἴσαι πρὸς δύο τὰς ΔΕ, ΕΖ ἀντιστοίχως, καὶ ἡ γωνία $ΔΕΖ > ΛΒΓ$, ἡ βάσις ἄρα ΔΖ εἶναι μεγαλυτέρα τῆς βάσεως ΛΓ. Ἐδείχθη δὲ $ΗΚ = ΑΛ$· εἶναι ἄρα $ΔΖ + ΗΚ > ΑΛ + ΛΓ$· ἀλλὰ αἱ $ΑΛ + ΛΓ > ΑΓ$· κατὰ μείζονα ἄρα λόγον εἶναι $ΔΖ + ΗΚ > ΑΓ$. Τῶν εὐθειῶν ἄρα ΑΓ, ΔΖ, ΗΚ αἱ δύο εἶναι μεγαλύτεραι τῆς λοιπῆς καθ' οἱονδήποτε τρόπον καὶ ἂν λαμβάνωνται· εἶναι δυνατὸν ἄρα ἐκ τῶν ἴσων πρὸς τὰς ΑΓ, ΔΖ, ΗΚ νὰ κατασκευασθῇ τρίγωνον· ὅπερ ἔδει δεῖξαι.

εἰσι· πολλῷ ἄρα αἱ ΔΖ, ΗΚ τῆς ΑΓ μείζονές εἰσιν. τῶν ΑΓ, ΔΖ, ΗΚ ἄρα εὐθειῶν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι· δυνατὸν ἄρα ἐστὶν ἐκ τῶν ἴσων ταῖς ΑΓ, ΔΖ, ΗΚ τρίγωνον συστήσασθαι· ὅπερ ἔδει δεῖξαι.

2.

Εἰς βιβλ. XI θεώρ. 23.

Ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐπὶ μιᾶς τῶν πλευρῶν τοῦ τριγώνου τῆς ΜΝ, καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθω ἡ ΞΛ. λέγω πάλιν, ὅτι μείζων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ ἢ ἐλάττων. ἔστω πρότερον ἴση. δύο δὴ αἱ ΑΒ, ΒΓ, τουτέστιν αἱ ΔΕ, ΕΖ, δύο ταῖς ΜΞ, ΞΛ, τουτέστι τῇ ΜΝ, ἴσαι εἰσίν. ἀλλὰ ἡ ΜΝ τῇ ΔΖ κεῖται ἴση. καὶ αἱ ΔΕ, ΕΖ ἄρα τῇ ΔΖ ἴσαι εἰσίν· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ΑΒ ἴση ἐστὶ τῇ ΛΞ. ὁμοίως δὴ οὐδὲ ἐλάττων· πολλῷ γὰρ τὸ ἀδύνατον μεῖζον. ἡ ἄρα ΑΒ μείζων ἐστὶ τῆς ΛΞ. καὶ ἐὰν ὁμοίως, ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, ἐκείνῳ ἴσον πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ ἀναστήσωμεν ὡς τὸ ἀπὸ τῆς ΞΡ, συσταθήσεται τὸ πρόβλημα.



ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐκτὸς τοῦ ΛΜΝ τριγώνου καὶ ἔστω τὸ Ξ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ, ΜΞ. λέγω δὴ καὶ οὕτως, ὅτι μείζων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν ἢ ἐλάττων. ἔστω πρότερον ἴση. δύο οὖν αἱ ΑΒ, ΒΓ δύο ταῖς ΜΞ, ΞΛ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΑΓ βάσει τῇ ΜΛ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΜΞΛ ἴση ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΗΘΚ τῇ ὑπὸ ΛΞΝ ἐστιν ἴση. ὅλη ἄρα ἡ ὑπὸ ΜΞΝ δύο ταῖς ΑΒΓ, ΗΘΚ ἐστιν ἴση. ἀλλὰ αἱ ὑπὸ ΑΒΓ, ΗΘΚ τῆς ὑπὸ ΔΕΖ μείζονές εἰσιν. καὶ ἡ ὑπὸ ΜΞΝ ἄρα τῆς ὑπὸ ΔΕΖ μείζων ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΔΕ, ΕΖ δύο ταῖς ΜΞ, ΞΝ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΔΖ βάσει τῇ ΜΝ ἴση, γωνία ἄρα ἡ ὑπὸ ΜΞΝ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ μείζων· ὅπερ ἄτοπον. οὐκ ἄρα ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ. ἑξῆς δὲ δείξομεν, ὅτι οὐδὲ ἐλάττων. μείζων ἄρα. καὶ ἐὰν πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ πάλιν ἀναστήσωμεν τὴν ΞΡ καὶ ἴσην αὐτὴν ἀποθώμεθα, ᾧ μεῖζον δύναται τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ, συσταθήσεται τὸ πρόβλημα.



λέγω δή, ὅτι οὐδὲ ἐλάττων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ. εἰ γὰρ δυνατόν, ἔστω. καὶ κείσθω τῇ μὲν ΑΒ ἴση ἡ ΞΟ, τῇ δὲ ΒΓ ἴση ἡ ΞΠ, καὶ ἐπεζεύχθω ἡ ΟΠ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΒΓ, ἴση ἐστὶ καὶ ἡ ΞΟ τῇ ΞΠ. ὥστε καὶ λοιπὴ ἡ ΟΛ λοιπῇ τῇ ΠΜ ἐστιν ἴση. παράλληλος ἄρα ἐστὶν ἡ ΛΜ τῇ ΠΟ, καὶ ἰσογώνιον

2.

Εἰς τὸ βιβλ. XI θεώρ. 23.

Ἀλλ' ἔστω τὸ κέντρον τοῦ κύκλου ἐπὶ μιᾶς τῶν πλευρῶν τοῦ τριγώνου τῆς ΜΝ, καὶ ἔστω τὸ Ξ, καὶ ἂς ἀχθῇ ἡ ΞΛ. Λέγω πάλιν ὅτι εἶναι ΑΒ $>$ ΛΞ. Διότι ἐὰν δὲν εἶναι, θὰ εἶναι ΑΒ $\leqq$ ΛΞ. Ἔστω πρότερον ἴση. Εἶναι λοιπὸν δύο αἱ ΑΒ, ΒΓ, τουτέστιν αἱ ΔΕ, ΕΖ, πρὸς δύο τὰς ΜΞ, ΞΛ, τουτέστι πρὸς τὴν ΜΝ, ἴσαι. Ἀλλὰ ἐλήφθη ΜΝ $=$ ΔΖ. Εἶναι ἄρα καὶ αἱ ΔΕ $+$ ΕΖ ἴσαι πρὸς τὴν ΔΖ· ὅπερ ἀδύνατον. Δὲν εἶναι ἄρα ἡ ΑΒ ἴση πρὸς τὴν ΛΞ. Ὁμοίως δὲ ἀποδεικνύεται ὅτι δὲν εἶναι οὔτε μικροτέρα. Διότι κατὰ μείζονα λόγον τὸ ἀδύνατον θὰ εἶναι μεγαλύτερον. Εἶναι ἄρα ΑΒ $>$ ΛΞ. Καὶ ἐὰν ὁμοίως ἀνυψώσωμεν τὴν ΞΡ κάθετον ἐπὶ τὸ ἐπίπεδον τοῦ κύκλου, ὥστε νὰ εἶναι ΞΡ$^2 =$ ΑΒ$^2 -$ ΛΞ^2, συντίθεται πάλιν τὸ πρόβλημα.

Ἀλλὰ τώρα ἔστω τὸ κέντρον τοῦ κύκλου ἐκτὸς τοῦ τριγώνου καὶ ἔστω τὸ Ξ, καὶ ἂς ἀχθῶσιν αἱ ΛΞ, ΜΞ. Λέγω τώρα, ὅτι καὶ τοιουτοτρόπως εἶναι ΑΒ $>$ ΛΞ. Διότι ἐὰν δὲν εἶναι, θὰ εἶναι ἢ ἴση ἢ μικροτέρα. Ἔστω πρότερον ἴση. Ὑπάρχουσι λοιπὸν δύο πλευραὶ αἱ ΑΒ, ΒΓ ἴσαι πρὸς δύο τὰς ΜΞ, ΞΛ ἀντιστοίχως, καὶ ἡ βάσις ΑΓ ἴση πρὸς τὴν βάσιν ΜΛ· ἡ γωνία ἄρα ΑΒΓ εἶναι ἴση πρὸς τὴν ΜΞΛ (Ι. 8). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΗΘΚ εἶναι ἴση πρὸς τὴν ΛΞΝ. Ὅλη ἄρα ἡ ΜΞΝ εἶναι ἴση πρὸς ΑΒΓ $+$ ΗΘΚ. Ἀλλὰ αἱ ΑΒΓ $+$ ΗΘΚ $>$ ΔΕΖ. Εἶναι ἄρα καὶ ἡ ΜΞΝ $>$ ΔΕΖ. Καὶ ἐπειδὴ δύο πλευραὶ αἱ ΔΕ, ΕΖ εἶναι ἴσαι πρὸς δύο τὰς ΜΞ, ΞΝ, καὶ ἡ βάσις ΔΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΜΝ, εἶναι ἄρα ἡ γωνία ΜΝΞ ἴση πρὸς τὴν ΔΕΖ (Ι. 8). Ἐδείχθη δὲ καὶ μεγαλυτέρα· ὅπερ ἄτοπον. Δὲν εἶναι ἄρα ἡ ΑΒ ἴση πρὸς τὴν ΛΞ. Ἐν συνεχείᾳ δὲ θὰ ἀποδείξωμεν ὅτι δὲν εἶναι οὔτε μικροτέρα. Εἶναι ἄρα μεγαλυτέρα. Καὶ ἐὰν πάλιν ἀνυψώσωμεν τὴν ΞΡ κάθετον ἐπὶ τὸ ἐπίπεδον τοῦ κύκλου καὶ λάβωμεν αὐτὴν οὕτως, ὥστε ΞΡ$^2 =$ ΑΒ$^2 -$ ΛΞ^2, πάλιν συντίθεται τὸ πρόβλημα.

Λέγω λοιπόν, ὅτι οὔτε μικροτέρα εἶναι ἡ ΑΒ τῆς ΛΞ. Διότι ἐὰν εἶναι δυνατόν, ἔστω. Καὶ ἂς ληφθῇ πρὸς μὲν τὴν ΑΒ ἴση ἡ ΞΟ, πρὸς δὲ τὴν ΒΓ ἴση ἡ ΞΠ καὶ ἂς ἀχθῇ ἡ ΟΠ. Καὶ ἐπειδὴ εἶναι ΑΒ $=$ΒΓ, εἶναι καὶ ΞΟ $=$ ΞΠ. Ὥστε καὶ ἡ λοιπὴ ἡ ΟΛ εἶναι ἴση πρὸς τὴν λοιπὴν τὴν ΠΜ. Εἶναι ἄρα ἡ ΛΜ τὸ ΛΜΞ τρίγωνον τῷ ΠΞΟ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΞΛ πρὸς τὴν ΛΜ, ἡ ΞΟ πρὸς τὴν ΟΠ, καὶ ἐναλλὰξ ὡς ἡ ΛΞ πρὸς τὴν ΞΟ, οὕτως ἡ ΛΜ πρὸς τὴν ΟΠ. μείζων δὲ ἡ ΛΞ τῆς ΞΟ· μείζων ἄρα καὶ ἡ ΛΜ τῆς ΟΠ. ἀλλὰ ἡ ΛΜ τῇ ΑΓ ἐστιν ἴση· καὶ ἡ ΑΓ ἄρα τῆς ΟΠ ἐστι μείζων. ἐπεὶ οὖν δύο αἱ ΑΒ, ΒΓ δύο ταῖς ΟΞ, ΞΠ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΑΓ βάσεως τῆς ΟΠ μείζων ἐστίν, γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίας τῆς ὑπὸ ΟΞΠ μείζων ἐστίν. ὁμοίως δὴ κἂν τὴν ΞΡ ἴσην ἑκατέρᾳ τῶν ΞΟ, ΞΠ ἀπολάβωμεν καὶ ἐπιζεύξωμεν τὴν ΟΡ, δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΗΘΚ γωνία τῆς ὑπὸ ΟΞΡ μείζων ἐστίν. συνεστάτω δὴ πρὸς τῇ ΛΞ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ξ τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΛΞΣ, τῇ δὲ ὑπὸ ΗΘΚ ἴση ἡ ὑπὸ ΛΞΤ, καὶ κείσθω ἑκατέρα τῶν ΞΣ, ΞΤ τῇ ΟΞ ἴση, καὶ ἐπεζεύχθωσαν αἱ ΟΣ, ΟΤ, ΣΤ. καὶ ἐπεὶ δύο αἱ ΑΒ, ΒΓ δύο ταῖς ΟΞ, ΞΣ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΟΞΣ ἴση, βάσις ἄρα ἡ ΑΓ, τουτέστιν ἡ ΛΜ, βάσει τῇ ΟΣ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΛΝ τῇ ΟΤ ἴση ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΜΛ, ΛΝ δύο ταῖς ΣΟ, ΟΤ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΜΛΝ γωνίας τῆς ὑπὸ ΣΟΤ μείζων ἐστίν, βάσις ἄρα ἡ ΜΝ βάσεως τῆς ΣΤ μείζων ἐστίν. ἀλλὰ ἡ ΜΝ τῇ ΔΖ ἐστιν ἴση· καὶ ἡ ΔΖ ἄρα τῆς ΣΤ μείζων ἐστίν. ἐπεὶ οὖν δύο αἱ ΔΕ, ΕΖ δύο ταῖς ΣΞ, ΞΤ ἴσαι εἰσίν, καὶ βάσις ἡ ΔΖ βάσεως τῆς ΣΤ μείζων, γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ γωνίας τῆς ὑπὸ ΣΞΤ μείζων ἐστίν. ἴση δὲ ἡ ὑπὸ ΣΞΤ ταῖς ὑπὸ ΑΒΓ, ΗΘΚ. ἡ ἄρα ὑπὸ ΔΕΖ τῶν ὑπὸ ΑΒΓ, ΗΘΚ μείζων ἐστίν. ἀλλὰ καὶ ἐλάττων· ὅπερ ἀδύνατον.

3.

Εἰς βιβλ. XI θεώρ. 38.

Ἐὰν ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθὸν ᾖ, καὶ ἀπό τινος σημείου τῶν ἐν ἑνὶ τῶν ἐπιπέδων ἐπὶ τὸ ἕτερον ἐπίπεδον κάθετος ἀχθῇ, ἐπὶ τῆς κοινῆς τομῆς πεσεῖται τῶν ἐπιπέδων ἡ ἀγομένη κάθετος.

ἐπίπεδον γὰρ τὸ ΓΔ ἐπιπέδῳ τῷ ΑΒ πρὸς ὀρθὰς ἔστω, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΔΑ, καὶ εἰλήφθω ἐπὶ τοῦ ΓΔ ἐπιπέδου τυχὸν σημεῖον τὸ Ε· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ ΑΒ ἐπίπεδον κάθετος ἀγομένη ἐπὶ τῆς ΔΑ πεσεῖται.



μὴ γάρ, ἀλλ' εἰ δυνατόν, πιπτέτω ἐκτὸς ὡς ἡ ΕΖ, καὶ συμβαλλέτω τῷ ΑΒ ἐπιπέδῳ κατὰ τὸ Ζ σημεῖον, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΔΑ ἐν τῷ ΑΒ ἐπιπέδῳ κάθετος ἔστω ἡ ΖΗ, ἥτις καὶ τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, καὶ ἐπεζεύχθω ἡ ΕΗ. ἐπεὶ οὖν ἡ ΖΗ τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, ἅπτεται δὲ αὐτῆς ἡ ΕΗ οὖσα ἐν τῷ ΓΔ ἐπιπέδῳ, παράλληλος πρὸς τὴν ΠΟ (VI. 2) καὶ τὸ τρίγωνον ΛΜΞ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΠΞΟ (Ι. 29). Εἶναι ἄρα ΞΛ : ΛΜ = ΞΟ : ΟΠ, καὶ ἐναλλὰξ ΛΞ : ΞΟ = ΛΜ : ΟΠ. Εἶναι δὲ ΛΞ > ΞΟ· εἶναι ἄρα καὶ ΛΜ > ΟΠ (V. 14). Ἀλλὰ ΛΜ = ΑΓ· εἶναι ἄρα καὶ ΑΓ > ΟΠ. Ἐπειδὴ λοιπὸν δύο αἱ ΑΒ, ΒΓ εἶναι ἴσαι πρὸς δύο τὰς ΟΞ, ΞΠ ἀντιστοίχως, καὶ ἡ βάσις ΑΓ εἶναι μεγαλυτέρα τῆς βάσεως ΟΠ, ἡ γωνία ἄρα ΑΒΓ εἶναι μεγαλυτέρα τῆς γωνίας ΟΞΠ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ἐὰν λάβωμεν τὴν ΞΡ ἴσην πρὸς ἑκατέραν τῶν ΞΟ, ΞΠ καὶ φέρωμεν τὴν [1] ΟΡ, ὅτι καὶ ἡ γωνία ΗΘΚ εἶναι μεγαλυτέρα τῆς γωνίας ΟΞΡ. Ἄς κατασκευασθῇ λοιπὸν ἐπὶ τῆς εὐθείας ΛΞ καὶ τοῦ ἐπ' αὐτῆς σημείου τοῦ Ξ, ὡς κορυφῆς, γωνία ΛΞΣ = ΑΒΓ καὶ γωνία ΛΞΤ = ΗΘΚ, καὶ ἂς ληφθῇ ἑκατέρα τῶν ΞΣ, ΞΤ ἴση πρὸς τὴν ΟΞ, καὶ ἂς ἀχθῶσιν αἱ ΟΣ, ΟΤ, ΣΤ. Καὶ ἐπειδὴ δύο αἱ ΑΒ, ΒΓ εἶναι ἴσαι πρὸς δύο τὰς ΟΞ, ΞΣ, καὶ ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΟΞΣ, ἡ βάσις ἄρα ἡ ΑΓ, τουτέστιν ἡ ΛΜ, εἶναι ἴση πρὸς τὴν βάσιν ΟΣ (Ι. 4). Διὰ τοὺς αὐτοὺς λόγους εἶναι καὶ ΛΝ = ΟΤ. Καὶ ἐπειδὴ δύο αἱ ΜΛ, ΛΝ, εἶναι ἴσαι πρὸς δύο τὰς ΣΟ, ΟΤ, καὶ ἡ γωνία ΜΛΝ εἶναι μεγαλυτέρα τῆς γωνίας ΣΟΤ, εἶναι ἄρα ἡ βάσις ΜΝ μεγαλυτέρα τῆς βάσεως ΣΤ (Ι. 24). Ἀλλὰ ΜΝ = ΔΖ· εἶναι ἄρα καὶ ΔΖ > ΣΤ. Ἐπειδὴ λοιπὸν δύο αἱ ΔΕ, ΕΖ εἶναι ἴσαι πρὸς δύο τὰς ΣΞ, ΞΤ, καὶ ἡ βάσις ΔΣ εἶναι μεγαλυτέρα τῆς βάσεως ΣΤ, εἶναι ἄρα ἡ γωνία ΔΕΖ μεγαλυτέρα τῆς γωνίας ΣΞΤ (Ι. 25). Εἶναι δὲ ἡ ΣΞΤ = ΑΒΓ + ΗΘΚ. Ἡ γωνία ἄρα ΔΕΖ > ΑΒΓ + ΗΘΚ. Ἀλλὰ καὶ μικροτέρα· ὅπερ ἀδύνατον.

[1. Σημ. Πρόκειται περὶ τῆς ΟΡ ἐντὸς τοῦ κύκλου.]

3.

Εἰς τὸ βιβλ. XI θεώρ. 38.

Ἐὰν ἐπίπεδον εἶναι κάθετον ἐπὶ ἐπίπεδον, καὶ ἀπό τινος σημείου ἑνὸς τῶν ἐπιπέδων ἀχθῇ κάθετος ἐπὶ τὸ ἄλλο ἐπίπεδον, ἡ ἀγομένη κάθετος θὰ πέσῃ ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων.

Διότι ἔστω τὸ ἐπίπεδον ΓΔ κάθετον ἐπὶ τὸ ἐπίπεδον ΑΒ, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΔΑ, καὶ ἂς ληφθῇ ἐπὶ τοῦ ἐπιπέδου ΓΔ τυχὸν σημεῖον τὸ Ε· λέγω, ὅτι ἡ κάθετος ἡ ἀγομένη ἀπὸ τοῦ Ε ἐπὶ τὸ ἐπίπεδον ΑΒ θὰ πέσῃ ἐπὶ τῆς ΔΑ.

Διότι ἂς μὴ πέσῃ, καὶ εἰ δυνατόν, ἂς πέσῃ ἐκτὸς ὡς ἡ ΕΖ, καὶ ἂς συναντᾷ τὸ ἐπίπεδον ΑΒ κατὰ τὸ σημεῖον Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΔΑ ἐν τῷ ἐπιπέδῳ ΑΒ ἔστω κάθετος ἡ ΖΗ, ἡ ὁποία εἶναι κάθετος καὶ ἐπὶ τὸ ἐπίπεδον ΓΔ (XI. ὁρ. 4), καὶ ἂς ἐπιζευχθῇ ἡ ΕΗ. Ἐπειδὴ λοιπὸν ἡ ΖΗ εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον ΓΔ, ἅπτεται δὲ αὐτῆς ἡ ΕΗ κειμένη ἐν τῷ ἐπιπέδῳ ΓΔ, ἡ γωνία ἄρα *ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΗΕ γωνία. ἀλλὰ καὶ ἡ ΕΖ τῷ ΑΒ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἡ ἄρα ὑπὸ ΕΖΗ ὀρθή ἐστιν. τριγώνου δὴ τοῦ ΕΖΗ αἱ δύο γωνίαι ὀρθαῖς ἴσαι εἰσίν· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ ΑΒ ἐπίπεδον κάθετος ἀγομένη ἐκτὸς πεσεῖται τῆς ΔΑ. ἐπὶ τὴν ΔΑ ἄρα πεσεῖται· ὅπερ ἔδει δεῖξαι.*

4.

Εἰς βιβλ. XII θεώρ. 4.

Καὶ ἐπεὶ τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα ἴσα ἐστὶν ἀλλήλοις, ἀλλὰ μὴν καὶ τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα ἴσα ἀλλήλοις ἐστίν, ἔστιν ἄρα ὡς τὸ πρίσμα, οὗ βάσις τὸ ΒΚΛΞ παραλληλόγραμμον, ἀπεναντίον δὲ ἡ ΜΟ εὐθεῖα, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΛΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΟΜΝ, οὕτως τὸ πρίσμα, οὗ βάσις τὸ ΠΕΡΦ, ἀπεναντίον δὲ ἡ ΣΤ, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΣΤΥ. συνθέντι ἐστὶν ἄρα ὡς τὰ ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ πρίσματα πρὸς τὸ ΛΞΓΜΝΟ πρίσμα, οὕτως τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ πρίσματα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα. ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὰ ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ πρὸς τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΥ πρίσματα, οὕτως τὸ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα. ὡς δὲ τὸ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΥ πρίσμα, οὕτως ἐδείχθη ἡ ΛΞΓ βάσις πρὸς τὴν ΡΦΖ, καὶ ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν. καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον, οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα. ὁμοίως δὲ κἂν τὰς ὑπολειπομένας πυραμίδας διέλωμεν τὸν αὐτὸν τρόπον οἷον ὡς τὰς ΜΝΟΗ, ΣΤΥΘ, ἔσται ὡς ἡ ΜΝΟ βάσις πρὸς τὴν ΣΤΥ βάσιν, οὕτως τὰ ἐν τῇ ΜΝΟΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο πρίσματα. ἀλλ' ὡς ἡ ΜΝΟ βάσις πρὸς τὴν ΣΤΥ βάσιν, οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν. καὶ ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσν, οὕτως καὶ τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα, καὶ τὰ ἐν τῇ ΜΝΟΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο πρίσματα, καὶ τὰ τέσσαρα πρὸς τὰ τέσσαρα. τὰ αὐτὰ δὲ δειχθήσεται καὶ ἐπὶ τῶν γενομένων πρισμάτων ἐκ τῆς διαιρέσεως τῶν ΑΚΛΟ καὶ ΔΠΡΣ πυραμίδων καὶ πάντων ἁπλῶς τῶν ἰσοπληθῶν· ὅπερ ἔδει δεῖξαι.

5.

Εἰς βιβλ. XII θεώρ. 17.

Δεικτέον δὴ καὶ ἑτέρως προχειρότερον, ὅτι μείζων ἐστὶν ἡ ΑΨ τῆς ΑΗ. ἤχθω ἀπὸ τοῦ Η τῇ ΑΗ πρὸς ὀρθὰς ἡ ΗΑ', καὶ ἐπεζεύχθω ἡ ΑΑ'. τέμνοντες δὴ τὴν ΕΒ περιφέρειαν δίχα καὶ τὴν ἡμίσειαν αὐτῆς δίχα καὶ τοῦτο ἀεὶ ποιοῦντες καταλείψομέν τινα περιφέρειαν, ἥ ἐστιν ἐλάσσων τῆς ὑποτεινομένης

ΖΗΕ εἶναι ὀρθή. Ἀλλὰ καὶ ἡ ΕΖ εἶναι κάθετος ἐπὶ τὸ ἐπίπεδον ΑΒ· ἄρα ἡ ΕΖΗ εἶναι ὀρθή. Εἶναι λοιπὸν τοῦ τριγώνου ΕΖΗ αἱ δύο γωνίαι ἴσαι πρὸς ὀρθάς· ὅπερ ἀδύνατον (Ι.17). Δὲν θὰ πέσῃ ἄρα ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ ἐπίπεδον ΑΒ ἀγομένη κάθετος ἐκτὸς τῆς ΔΑ. Θὰ πέσῃ ἄρα ἐπὶ τὴν ΔΑ· ὅπερ ἔδει δεῖξαι.

4.

Εἰς τὸ βιβλ. XII θεώρ. 4.

Καὶ ἐπειδὴ τὰ ἐν τῇ πυραμίδι ΑΒΓΗ δύο πρίσματα εἶναι ἴσα πρὸς ἄλληλα, ἀλλ' ὅμως καὶ τὰ ἐν τῇ πυραμίδι ΔΕΖΘ δύο πρίσματα εἶναι ἴσα πρὸς ἄλληλα, εἶναι ἄρα ὡς τὸ πρίσμα, τοῦ ὁποίου βάσις εἶναι τὸ παραλληλόγραμμον ΒΚΛΞ, ἀπέναντι δὲ ἡ εὐθεῖα ΜΟ, πρὸς τὸ πρίσμα, τοῦ ὁποίου βάσις μὲν εἶναι τὸ τρίγωνον ΛΞΔ, ἀπέναντι δὲ τὸ ΟΜΝ, οὕτως τὸ πρίσμα, τοῦ ὁποίου βάσις εἶναι τὸ ΠΕΡΦ, ἀπέναντι δὲ ἡ ΣΤ, πρὸς τὸ πρίσμα, τοῦ ὁποίου βάσις μὲν εἶναι τὸ τρίγωνον ΡΦΖ, ἀπέναντι δὲ τὸ ΣΤΥ. Διὰ συνθέσεως ἄρα εἶναι ΚΒΞΛΜΟ + ΛΞΓΜΝΟ : ΛΞΓΜΝΟ = ΠΕΦΡΣΤ + ΡΦΖΣΤΥ : ΡΦΖΣΤΥ. Ἐναλλὰξ ἄρα εἶναι ΚΒΞΛΜΟ + ΛΞΓΜΝΟ : ΛΞΓΜΝΟ + ΡΦΖΣΤΥ = ΛΞΓΜΝΟ : ΡΦΖΣΤΥ. Ὡς δὲ τὸ πρίσμα ΛΞΓΜΝΟ πρὸς τὸ πρίσμα ΡΦΖΣΤΥ, οὕτως ἐδείχθη ἡ βάσις ΛΞΓ πρὸς τὴν ΡΦΖ, καὶ ἡ βάσις ΑΒΓ πρὸς τὴν βάσιν ΔΕΖ. Καὶ ὡς ἄρα τὸ τρίγωνον ΑΒΓ πρὸς τὸ τρίγωνον ΔΕΖ, οὕτως τὰ ἐν τῇ πυραμίδι ΑΒΓΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΔΕΖΘ δύο πρίσματα. Ὁμοίως δὲ καὶ ἐὰν διαιρέσωμεν τὰς ὑπολειπομένας πυραμίδας κατὰ τὸν αὐτὸν τρόπον, οἷον ὡς τὰς ΜΝΟΗ, ΣΤΥΘ, θὰ εἶναι ὡς ἡ βάσις ΜΝΟ πρὸς τὴν βάσιν ΣΤΥ, οὕτως τὰ ἐν τῇ πυραμίδι ΜΝΟΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΣΤΥΘ δύο πρίσματα. Ἀλλ' ὡς ἡ βάσις ΜΝΟ πρὸς τὴν βάσιν ΣΤΥ, οὕτως ἡ βάσις ΑΒΓ πρὸς τὴν βάσιν ΔΕΖ. Καὶ ὡς ἄρα ἡ βάσις ΑΒΓ πρὸς τὴν βάσιν ΔΕΖ, οὕτως καὶ τὰ ἐν τῇ πυραμίδι ΑΒΓΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΔΕΖΘ δύο πρίσματα, καὶ τὰ ἐν τῇ ΜΝΟΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ πυραμίδι ΣΤΥΘ δύο πρίσματα, καὶ τὰ τέσσαρα πρὸς τὰ τέσσαρα. Τὰ αὐτὰ δὲ θὰ ἀποδειχθῶσι καὶ ἐπὶ τῶν προκυπτόντων πρισμάτων ἐκ τῆς διαιρέσεως τῶν πυραμίδων ΑΚΛΟ καὶ ΔΠΡΣ καὶ ἁπλῶς ὅλων τῶν ἰσοπληθῶν· ὅπερ ἔδει δεῖξαι.

5.

Εἰς τὸ βιβλ. XII θεώρ. 17.

Ὅμως δύναται νὰ ἀποδειχθῇ καὶ ἄλλως προχειρότερον, ὅτι ΑΨ $>$ ΑΗ. Ἂς ἀχθῇ ἀπὸ τοῦ Η κάθετος ἐπὶ τὴν ΑΗ ἡ ΗΑ′, καὶ ἂς ἀχθῇ ἡ ΑΑ′. Τέμνοντες λοιπὸν τὸ τόξον ΕΒ δίχα καὶ τὸ ἥμισυ αὐτοῦ δίχα καὶ πράττοντες τοῦτο πάντοτε θὰ καταλείψωμεν τόξον τι, τὸ ὁποῖον θὰ εἶναι μικρότερον τοῦ τόξου τοῦ

τοῦ ΒΓΔΕ κύκλου περιφερείας ὑπὸ τῆς ἴσης τῇ ΗΑ'. λελείφθω καὶ ἔστω ἡ ΚΒ περιφέρεια. ἐλάσσων ἄρα καὶ ἡ ΚΒ εὐθεῖα τῆς ΗΑ'. καὶ ἐπεὶ ἐν κύκλῳ ἐστὶ τὸ ΒΚΣΟ τετράπλευρον, καί εἰσιν ἴσαι αἱ ΟΒ, ΒΚ, ΚΣ, καὶ ἐλάττων ἡ ΟΣ, ἀμβλεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΨΚ γωνία. μείζων ἄρα ἡ ΚΒ τῆς ΒΨ. ἀλλὰ τῆς ΚΒ μείζων ἐστὶν ἡ ΗΑ'· πολλῷ ἄρα ἡ ΗΑ' μείζων ἐστὶ τῆς ΒΨ· μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΑ' τοῦ ἀπὸ τῆς ΒΨ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΑ' τῇ ΑΒ, ἴσον καὶ τὸ ἀπὸ τῆς ΑΑ' τῷ ἀπὸ τῆς ΑΒ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΑ' ἴσα τὰ ἀπὸ τῶν ΑΗ, ΗΑ', τῷ δὲ ἀπὸ τῆς ΑΒ ἴσα τα ἀπὸ τῶν ΒΨ, ΨΑ· τὰ ἄρα ἀπὸ τῶν ΑΗ, ΗΑ' ἴσα τοῖς ἀπὸ τῶν ΒΨ, ΨΑ, ὧν τὸ ἀπὸ τῆς ΒΨ ἔλαττόν ἐστι τοῦ ἀπὸ τῆς ΗΑ'· λοιπὸν ἄρα τὸ ἀπὸ ΨΑ μεῖζόν ἐστι τοῦ ἀπὸ ΑΗ· μείζων ἄρα ἡ ΑΨ τῆς ΑΗ.

6.

Εἰς βιβλ. XIII ϑεώρ. 6.

Ἐὰν ῥητὴ εὐθεῖα ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἀποτομή ἐστι. ῥητὴ γὰρ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ σημεῖον. σύμμετρον τμῆμά ἐστι τὸ ΑΓ. λέγω, ὅτι ἑκατέρα τῶν ΑΓ, ΓΒ ἀποτομή ἐστι. κείσθω τῆς ΑΒ ἡμίσεια ἡ ΑΔ. ῥητὴ δὲ ἡ ΑΒ· ῥητὴ ἄρα καὶ ἡ ΑΔ. καὶ ἐπεὶ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΑ, ῥητὸν δὲ τὸ ἀπὸ τῶν ΔΑ, ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῶν ΔΓ. καὶ ἐπεὶ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΔΓ τοῦ ἀπὸ τῆς ΔΑ, τὸ ἄρα ἀπὸ τῶν ΔΓ πρὸς τὸ ἀπὸ τῶν ΔΑ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ἀλλ' ὃν μὲν ἀριθμὸς πρὸς ἀριθμόν. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΓ τῇ ΔΑ μήκει. καί ἐστι ῥητὴ ἑκατέρα· αἱ ΓΔ, ΔΑ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. ἀποτομὴ ἄρα ἐστὶν ἡ ΑΓ. ῥητὴ δὲ ἡ ΑΒ, καὶ τῷ ἀπὸ τῶν ΑΓ ἴσον παρὰ τὴν ΑΒ παραβέβληται τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ. τὸ δὲ ᾱ ἀποτομὴν παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην. ἀποτομὴ ἄρα καὶ ἡ ΓΒ. ἑκατέρα ἄρα τῶν ΑΓ, ΓΒ ἀποτομή ἐστιν. ἐὰν ἄρα ῥητὴ εὐθεῖα ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἀποτομή ἐστιν.

7.

Εἰς βιβλ. XIII ϑεώρ. 5.

Ἄλλως.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἔσται ὡς συναμφότερος ἡ ὅλη καὶ τὸ μεῖζον τμῆμα πρὸς τὴν ὅλην, οὕτως ἡ ὅλη πρὸς τὸ μεῖζον τμῆμα.

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ· λέγω, ὅτι ἐστὶν ὡς συναμφότερος ἡ ΒΑΓ πρὸς ΑΒ, οὕτως ἡ ΒΑ πρὸς ΑΓ.

κύκλου ΒΓΔΕ τοῦ ἔχοντος χορδὴν ἴσην πρὸς τὴν ΗΑ'. Ἂς ὑπολειφθῇ καὶ ἔστω τὸ τόξον ΚΒ. Εἶναι ἄρα καὶ ἡ εὐθεῖα ΚΒ μικροτέρα τῆς ΗΑ'. Καὶ ἐπειδὴ τὸ τετράπλευρον ΒΚΣΟ εἶναι ἐγγεγραμμένον εἰς κύκλον, καὶ εἶναι $ΟΒ = ΒΚ = ΚΣ$, καὶ ἡ ΟΣ εἶναι μικροτέρα, εἶναι ἄρα ἀμβλεῖα ἡ γωνία ΒΨΚ. Ἄρα $ΚΒ > ΒΨ$. Ἀλλ' εἶναι $ΗΑ' > ΚΒ$· κατὰ μείζονα ἄρα λόγον εἶναι $ΗΑ' > ΒΨ$· εἶναι ἄρα τὸ τετράγωνον τῆς $ΗΑ' >$ τοῦ $ΒΨ^2$. Καὶ ἐπειδὴ $ΑΑ' = ΑΒ$, εἶναι καὶ τὸ τετράγωνον τῆς ΑΑ' ἴσον πρὸς $ΑΒ^2$. Ἀλλὰ πρὸς μὲν τὸ τετράγωνον τῆς ΑΑ' εἶναι ἴσα τὰ $ΑΗ^2 + Α'Η^2$, πρὸς δὲ τὸ $ΑΒ^2$ εἶναι ἴσα τὰ $ΒΨ^2 + ΨΑ^2$· εἶναι ἄρα $ΑΗ^2 + Α'Η^2 = ΒΨ^2 + ΨΑ^2$, τῶν ὁποίων τὸ $ΒΨ^2 < Α'Η^2$· τὸ λοιπὸν ἄρα τὸ $ΨΑ^2 > ΑΗ^2$· εἶναι ἄρα $ΑΨ > ΑΗ$.

6.

Εἰς τὸ βιβλ. XIII θεώρ. 6.

Ἐὰν ῥητὴ εὐθεῖα τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον, ἑκάτερον τῶν τμημάτων εἶναι ἀποτομή. Διότι ἂς τμηθῇ ἡ ῥητὴ ΑΒ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ σημεῖον Γ. Τὸ τμῆμα ΑΓ εἶναι σύμμετρον. Λέγω, ὅτι ἑκατέρα τῶν ΑΓ, ΓΒ εἶναι ἀποτομή. Ἂς ληφθῇ τὸ ἥμισυ τῆς ΑΒ ἡ ΑΔ (σχῆμα θ. 6 τοῦ XIII). Εἶναι δὲ ῥητὴ ἡ ΑΒ· εἶναι ἄρα καὶ ἡ ΑΔ ῥητή. Καὶ ἐπειδὴ τὸ $ΓΔ^2 = 5ΔΑ^2$, εἶναι δὲ ῥητὸν τὸ $ΔΑ^2$, ἄρα εἶναι ῥητὸν καὶ τὸ $ΔΓ^2$. Καὶ ἐπειδὴ τὸ $ΔΓ^2 = 5ΔΑ^2$, ἄρα τὸ $ΔΓ^2$ πρὸς τὸ $ΔΑ^2$ δὲν ἔχει λόγον, ὃν ἔχει τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ἀλλὰ ὃν λόγον ἔχει ἀριθμὸς πρὸς ἀριθμόν. Εἶναι ἄρα ἡ ΔΓ μήκει ἀσύμμετρος πρὸς τὴν ΔΑ. Καὶ ἑκατέρα εἶναι ῥητή· ἄρα αἱ ΓΔ, ΔΑ εἶναι ῥηταὶ δυνάμει μόνον σύμμετροι. Ἄρα ἡ ΑΓ εἶναι ἀποτομή. Εἶναι δὲ ἡ ΑΒ ῥητή, καὶ παρὰ τὴν ΑΒ παρεβλήθη τὸ $ΑΓ^2$ ὡς ὀρθογώνιον $ΑΒ \times ΒΓ$. Τὸ δὲ τετράγωνον ἀποτομῆς παραβαλλόμενον παρὰ ῥητὴν σχηματίζει πλάτος ἀποτομὴν πρώτην (Χ. 97). Καὶ ἡ ΓΒ ἄρα εἶναι ἀποτομή. Ἑκατέρα ἄρα τῶν ΑΓ, ΓΒ εἶναι ἀποτομή. Ἐὰν ἄρα εὐθεῖα ῥητὴ τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον, ἑκάτερον τῶν τμημάτων εἶναι ἀποτομή.

7.

Εἰς τὸ βιβλ. XIII θεώρ. 5.

Ἄλλως.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον, θὰ εἶναι ὡς τὸ ἄθροισμα ὅλης μὲ τὸ μεγαλύτερον τμῆμα πρὸς τὴν ὅλην, οὕτως ἡ ὅλη πρὸς τὸ μεγαλύτερον τμῆμα.

Διότι ἂς τμηθῇ εὐθεῖά τις ἡ ΑΒ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ ἔστω μεγαλύτερον τμῆμα τὸ ΑΓ· λέγω, ὅτι εἶναι ὡς $ΒΑ + ΑΓ : ΑΒ = ΒΑ : ΑΓ$.

Κείσθω γὰρ τῇ ΑΓ ἴση ἡ ΑΔ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΒΔ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ. ἐπεὶ γὰρ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ μεῖζον τμῆμά ἐστι τὸ ΑΓ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἴση δὲ ἡ ΑΓ τῇ ΔΑ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς ΑΔ, οὕτως ἡ ΑΓ πρὸς ΓΒ· ἀνάπαλιν ἄρα ἐστὶν ὡς ἡ ΔΑ πρὸς τὴν ΑΒ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΑ· συνθέντι ἄρα ἐστὶν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΒΑ πρὸς ΑΓ. ἴση δέ ἐστιν ἡ ΔΑ τῇ ΑΓ· ἔστιν ἄρα ὡς συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΑΒ, οὕτως ἡ ΒΑ πρὸς ΑΓ. καὶ ἐπεὶ δέδεικται ὡς ἡ ΔΒ πρὸς ΒΑ, οὕτως ἡ ΒΑ πρὸς ΑΓ, ἴση δὲ ἡ ΓΑ τῇ ΔΑ, ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ. καὶ ἡ ΔΒ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ἐξ ἀρχῆς εὐθεῖα ἡ ΑΒ· ὅπερ ἔδει δεῖξαι.



8.

Εἰς βιβλ. XIII θεωρ. 1 - 5.

Τί ἐστιν ἀνάλυσις καὶ τί ἐστι σύνθεσις.

Ἀνάλυσις μὲν οὖν ἐστι λῆψις τοῦ ζητουμένου ὡς ὁμολογουμένου διὰ τῶν ἀκολούθων ἐπί τι ἀληθὲς ὁμολογούμενον.

Σύνθεσις δὲ λῆψις τοῦ ὁμολογουμένου διὰ τῶν ἀκολούθων ἐπί τι ἀληθὲς ὁμολογούμενον.

Τοῦ $\overline{α}$ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις ἄνευ καταγραφῆς.

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τῇ ἡμισείᾳ τῆς ΑΒ ἴση κείσθω ἡ ΑΔ· λέγω, ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΑΔ.

Ἐπεὶ γὰρ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΑ, τὸ δὲ ἀπὸ τῆς ΓΔ ἐστι τὰ ἀπὸ τῶν ΓΑ, ΑΔ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ, τὰ ἄρα ἀπὸ τῶν ΓΑ, ΑΔ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ πενταπλάσιά ἐστι τοῦ ἀπὸ ΑΔ· διελόντι ἄρα τὸ ἀπὸ τῆς ΓΑ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ τετραπλάσιά ἐστι τοῦ ἀπὸ ΑΔ. ἀλλὰ τῷ μὲν δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ· διπλῆ γὰρ ἡ ΒΑ τῆς ΑΔ· τῷ δὲ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται· τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΔ. ἀλλὰ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ἀπὸ τῆς ΑΒ ἐστιν. τὸ ἄρα ἀπὸ τῆς ΑΒ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΔ. ἔστι δέ· διπλῆ γάρ ἐστιν ἡ ΑΒ τῆς ΑΔ.



Διότι ἂς ληφθῇ $ΑΔ = ΑΓ$· λέγω, ὅτι εἶναι $ΒΔ : ΒΑ = ΒΑ : ΑΓ$. Διότι ἐπειδὴ ἡ ΑΒ ἔχει τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ μεγαλύτερον τμῆμα εἶναι τὸ ΑΓ, εἶναι ἄρα ὡς $ΒΑ : ΑΓ = ΑΓ : ΓΒ$. Εἶναι δὲ $ΑΓ = ΑΔ$· εἶναι ἄρα $ΒΑ : ΑΔ = ΑΓ : ΓΒ$· ἀνάπαλιν ἄρα εἶναι ὡς $ΔΑ : ΑΒ = ΒΓ : ΓΑ$· διὰ συνθέσεως ἄρα εἶναι ὡς $ΔΒ : ΒΑ = ΒΑ : ΑΓ$. Εἶναι δὲ $ΔΑ = ΑΓ$· εἶναι ἄρα ὡς $ΒΑ + ΑΓ : ΑΒ = ΒΑ : ΑΓ$. Καὶ ἐπειδὴ ἀπεδείχθη ὡς $ΔΒ : ΒΑ = ΒΑ : ΑΓ$, εἶναι δὲ $ΓΑ = ΔΑ$, εἶναι ἄρα ὡς $ΔΒ : ΒΑ = ΒΑ : ΑΔ$. Καὶ ἡ ΔΒ ἄρα ἐτμήθη εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Α, καὶ τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ἐξ ἀρχῆς εὐθεῖα, ἡ ΑΒ· ὅπερ ἔδει δεῖξαι.

8.

Εἰς τὸ βιβλ. XIII θεωρ. 1-5

Τί εἶναι ἀνάλυσις καὶ τί εἶναι σύνθεσις.

Ἀνάλυσις μὲν λοιπὸν εἶναι λῆψις τοῦ ζητουμένου ὡς ἀποδειχθέντος, διὰ τῶν ἑπομένων συλλογισμῶν ἀποδεικνυομένου ὡς ἀληθοῦς.

Σύνθεσις δὲ λῆψις τοῦ ἀποδεικνυομένου, διὰ σειρᾶς ἀληθῶν προτάσεων.

Τοῦ α′ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις ἄνευ σχήματος.

(σχ. θεωρήματος).

Διότι εὐθεῖά τις ἡ ΑΒ ἂς τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ καὶ ἔστω μεγαλύτερον τμῆμα ἡ ΑΓ, καὶ ἂς ληφθῇ ἡ ΑΔ ἴση πρὸς τὸ ἥμισυ τῆς ΑΒ· λέγω, ὅτι τὸ $ΓΔ^2 = 5ΑΔ^2$.

Διότι, ἐπειδὴ τὸ $ΓΔ^2 = 5ΑΔ^2$, τὸ δὲ $ΓΔ^2 = ΓΑ^2 + ΑΔ^2 + 2ΓΑ \times ΑΔ$, εἶναι ἄρα $ΓΑ^2 + ΑΔ^2 + 2ΓΑ \times ΑΔ = 5ΑΔ^2$· δι' ἀφαιρέσεως ἄρα εἶναι $ΓΑ^2 + 2ΓΑ \times ΑΔ = 4ΑΔ^2$. Ἀλλὰ $2ΓΑ \times ΑΔ = ΒΑ \times ΑΓ$· διότι $ΒΑ = 2ΑΔ$· καὶ $ΑΓ^2 = ΑΒ \times ΒΓ$· διότι ἡ ΑΒ ἐτμήθη εἰς ἄκρον καὶ μέσον λόγον· εἶναι ἄρα $ΒΑ \times ΑΓ + ΑΒ \times ΒΓ = 4ΑΔ^2$. Ἀλλὰ $ΒΑ \times ΑΓ + ΑΒ \times ΒΓ = ΑΒ^2$. Εἶναι ἄρα τὸ $ΑΒ^2 = 4ΑΔ^2$. Εἶναι δέ· διότι $ΑΒ = 2ΑΔ$.

Σύνθεσις.

Ἐπεὶ οὖν τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΑΔ, ἀλλὰ τὸ ἀπὸ ΒΑ τὸ ὑπὸ ΒΑ, ΑΓ ἐστι μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ, τὸ ἄρα ὑπὸ ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΔ. ἀλλὰ τὸ μὲν ὑπὸ τῶν ΒΑ, ΑΓ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, τὸ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· τὸ ἄρα ἀπὸ τῆς ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΑ· ὥστε τὰ ἀπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ πενταπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΔΑ. τὰ δὲ ἀπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ τὸ ἀπὸ τῆς ΓΔ ἐστιν. τὸ ἄρα ἀπὸ τῆς ΓΔ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΑ· ὅπερ ἔδει δεῖξαι.

Τοῦ $\overline{\beta}$ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις ἄνευ καταγραφῆς.

Εὐθεῖα γάρ τις ἡ ΓΔ τμήματος ἑαυτῆς τοῦ ΔΑ πενταπλάσιον δυνάσθω, τῆς δὲ ΔΑ διπλῆ κείσθω ἡ ΑΒ· λέγω, ὅτι ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ σημεῖον, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ, ἥτις ἐστὶ τὸ λοιπὸν μέρος τῆς ἐξ ἀρχῆς εὐθείας.

Ἐπεὶ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ, τὸ ἄρα ὑπὸ τῶν ΑΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ. ἔστι δὲ καὶ τὸ ὑπὸ τῶν ΒΑΓ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ ἴσον· διπλῆ γάρ ἐστιν ἡ ΒΑ τῆς ΑΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ὑπὸ τῶν ΒΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ, ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ ἀπὸ τῆς ΑΓ. τετραπλάσιον δὲ τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΔΑ· τετραπλάσιον ἄρα καὶ τὸ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ ἀπὸ ΑΓ τοῦ ἀπὸ ΑΔ· ὥστε τὰ ἀπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΓΔ, πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΑ. ἔστι δέ.

Σύνθεσις.

Ἐπεὶ οὖν πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΑ, τὸ δὲ ἀπὸ τῆς ΓΔ τὰ ἀπὸ τῶν ΔΑ, ΑΓ ἐστι μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, τὰ ἄρα ἀπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ πενταπλάσιά ἐστι τοῦ ἀπὸ ΔΑ. διελόντι τὸ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ ἀπὸ τῆς ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΔ· ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΑΒ τετραπλάσιον τοῦ ἀπὸ ΑΔ· τὸ ἄρα δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἅπαξ ὑπὸ τῶν ΒΑ, ΑΓ, μετὰ τοῦ ἀπὸ ΑΓ, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ. ἀλλὰ τὸ ἀπὸ τῆς ΑΒ τὸ ὑπὸ ΑΒ, ΒΓ ἐστι μετὰ τοῦ ὑπὸ ΒΑ, ΑΓ· τὸ ἄρα ὑπὸ ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ὑπὸ ΒΑ, ΑΓ μετὰ τοῦ ἀπὸ ΑΓ· καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ὑπὸ ΒΑ, ΑΓ, λοιπὸν ἄρα τὸ ὑπὸ ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως

Σύνθεσις.

Ἐπειδὴ λοιπὸν εἶναι $ΑΒ^2 = 4ΑΔ^2$, ἀλλὰ τὸ $ΒΑ^2 = ΒΑ \times ΑΓ + ΑΒ \times ΒΓ$ (ΙΙ. 2), εἶναι ἄρα $ΒΑ \times ΑΓ + ΑΒ \times ΒΓ = 4ΑΔ^2$. Ἀλλὰ $ΒΑ \times ΑΓ = 2ΔΑ \times ΑΓ$, καὶ $ΑΒ \times ΒΓ = ΑΓ^2$· εἶναι ἄρα $ΑΓ^2 + 2ΔΑ \times ΑΓ = 4ΑΔ^2$· ὥστε $ΔΑ^2 + ΑΓ^2 + 2ΔΑ \times ΓΑ = 5ΑΔ^2$. Τὰ δὲ $ΔΑ^2 + ΑΓ^2 + 2ΔΑ \times ΑΓ = ΓΔ^2$ (ΙΙ. 4). Εἶναι ἄρα τὸ $ΓΔ^2 = 5ΑΔ^2$· ὅπερ ἔδει δεῖξαι.

Τοῦ β′ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις ἄνευ σχήματος.

(σχ. θεωρήματος).

Διότι ἂς εἶναι τὸ τετράγωνον εὐθείας τινὸς τῆς ΓΔ πενταπλάσιον τοῦ τετραγώνου μέρους αὐτῆς τῆς ΔΑ, τῆς δὲ ΔΑ ἔστω διπλασία ἡ ΑΒ· λέγω, ὅτι ἡ ΑΒ τέμνεται εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ σημεῖον Γ, καὶ τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΑΓ, ἡ ὁποία εἶναι τὸ λοιπὸν μέρος τῆς ἐξ ἀρχῆς εὐθείας.

Ἐπειδὴ ἡ ΑΒ τέμνεται εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΑΓ, εἶναι ἄρα $ΑΒ \times ΒΓ = ΑΓ^2$. Εἶναι δὲ καὶ $ΒΑ \times ΑΓ = 2ΔΑ \times ΑΓ$· διότι ἡ $ΒΑ = 2ΑΔ$· εἶναι ἄρα $ΑΒ \times ΒΓ + ΒΑ \times ΑΓ$, τὸ ὁποῖον εἶναι τὸ $ΑΒ^2 = 2ΔΑ + ΑΓ + ΑΓ^2$. Εἶναι δὲ τὸ $ΑΒ^2 = 4ΔΑ^2$· εἶναι ἄρα καὶ τὸ $2ΔΑ \times ΑΓ + ΑΓ^2 = 4ΑΔ^2$· ὥστε $ΔΑ^2 + ΑΓ^2 + 2ΔΑ \times ΑΓ$, τὸ ὁποῖον εἶναι τὸ $ΓΔ^2 = 5ΔΑ^2$. Εἶναι δέ.

Σύνθεσις.

Ἐπειδὴ λοιπὸν τὸ $ΓΔ^2 = 5ΔΑ^2$, τὸ δὲ $ΓΔ^2 = ΔΑ^2 + ΑΓ^2 + 2ΔΑ \times ΑΓ$, εἶναι ἄρα $ΔΑ^2 + ΑΓ^2 + 2ΔΑ \times ΑΓ = 5ΔΑ$. Δι' ἀφαιρέσεως εἶναι $2ΔΑ \times ΑΓ + ΑΓ^2 = 4ΔΑ^2$· εἶναι δὲ καὶ $ΑΒ^2 = 4ΑΔ^2$· εἶναι ἄρα $2ΔΑ \times ΑΓ$, τὸ ὁποῖον εἶναι ἴσον πρὸς $ΒΑ \times ΑΓ$ σὺν $ΑΓ^2 = ΑΒ^2$. Ἀλλὰ $ΑΒ^2 = ΑΒ \times ΒΓ + ΒΑ \times ΑΓ$ (ΙΙ. 2)· εἶναι ἄρα $ΒΑ \times ΑΓ + ΑΒ \times ΒΓ = ΒΑ \times ΑΓ + ΑΓ^2$ · καὶ ἐὰν ἀφαιρεθῇ τὸ κοινὸν $ΒΑ \times ΑΓ$, τὸ λοιπὸν ἄρα τὸ $ΑΒ \times ΒΓ = ΑΓ^2$· εἶναι ἄρα $ΒΑ : ΑΓ = ΑΓ : ΓΒ$. Εἶναι δὲ $ΒΑ > ΑΓ$· εἶναι ἄρα καὶ ἡ $ΑΓ > ΓΒ$· ἡ ΑΒ ἄρα ἐτμήθη εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ τὸ μεγαλύτερον τμῆμα εἶναι ἡ ΑΓ· ὅπερ ἔδει δεῖξαι.

ἡ ΑΓ πρὸς τὴν ΓΒ. μείζων δὲ ἡ ΒΑ τῆς ΑΓ· μείζων ἄρα καὶ ἡ ΑΓ τῆς ΓΒ· ἡ ΑΒ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ· ὅπερ ἔδει δεῖξαι.

Τοῦ γ̅ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις.

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ σημεῖον, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τῆς ΑΓ ἡμίσεια ἡ ΓΔ· λέγω, ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ.

Ἐπεὶ γὰρ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ, τὸ δὲ ἀπὸ τῆς ΔΒ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἐστι μετὰ τοῦ ἀπὸ ΔΓ, τὸ ἄρα ὑπὸ ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΔΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ· διελόντι τὸ ἄρα ὑπὸ ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ. τῷ δὲ ὑπὸ ΑΒ, ΒΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ· ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ. τὸ ἄρα ἀπὸ τῆς ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ. ἔστι δέ· διπλῆ γὰρ ἡ ΑΓ τῆς ΔΓ.

Ἡ σύνθεσις.

Ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΔΓ, τετραπλάσιόν ἐστι τὸ ἀπὸ ΑΓ τοῦ ἀπὸ ΔΓ. ἀλλὰ τῷ ἀπὸ ΑΓ ἴσον ἐστὶ τὸ ὑπὸ ΑΒ, ΒΓ· τὸ ἄρα ὑπὸ ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ. συνθέντι τὸ ἄρα ὑπὸ ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΔΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ ΔΒ, πενταπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ· ὅπερ ἔδει δεῖξαι.

Τοῦ δ̅ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις.

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ· λέγω, ὅτι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ ΑΓ.



Ἐπεὶ γὰρ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ ΑΓ, ἀλλὰ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ἐστι μετὰ τοῦ ἀπὸ ΑΓ, τὸ ἄρα δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΑΓ τριπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΓ· διελόντι τὸ ἄρα δὶς ὑπὸ ΑΒ, ΒΓ διπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΓ· ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ. ἔστι δέ· ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ.

Ἡ σύνθεσις.

Ἐπεὶ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καί ἐστι μεῖζον τμῆμα ἡ ΑΓ, τὸ ἄρα ὑπὸ ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ ΑΓ· τὸ ἄρα δὶς ὑπὸ ΑΒ,

Τοῦ γ′ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις.

Διότι ἂς τμηθῇ ἡ εὐθεῖα γραμμὴ ΑΒ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ σημεῖον Γ, καὶ ἔστω μεγαλύτερον τμῆμα ἡ ΑΓ, καὶ τῆς ΑΓ ἥμισυ ἔστω ἡ ΓΔ· λέγω, ὅτι τὸ $ΒΔ^2 = 5ΓΔ^2$.

Διότι, ἐπειδὴ τὸ $ΒΔ^2 = 5ΓΔ^2$, τὸ δὲ $ΔΒ^2 = ΑΒ \times ΒΓ + ΔΓ^2$ (II. 6), εἶναι ἄρα $ΑΒ \times ΒΓ + ΔΓ^2 = 5ΔΓ^2$· δι' ἀφαιρέσεως ἄρα εἶναι $ΑΒ \times ΒΓ = 4ΔΓ^2$. Εἶναι δὲ $ΑΒ \times ΒΓ = ΑΓ^2$· διότι ἡ ΑΒ ἔχει τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ. Εἶναι ἄρα τὸ $ΑΓ^2 = 4ΔΓ^2$. Εἶναι δέ· διότι $ΑΓ = 2ΔΓ$.

Ἡ σύνθεσις.

Ἐπειδὴ $ΑΓ = 2ΔΓ$, εἶναι τὸ $ΑΓ^2 = 4ΔΓ^2$. Ἀλλὰ $ΑΓ^2 = ΑΒ \times ΒΓ$· εἶναι ἄρα $ΑΒ \times ΒΓ = 4ΔΓ^2$. Διὰ προσθέσεως ἄρα εἶναι $ΑΒ \times ΒΓ + ΔΓ^2 = 5ΔΓ^2 = ΔΒ^2$ (II. 6)· ὅπερ ἔδει δεῖξαι.

Τοῦ δ′ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις.

Διότι εὐθεῖα γραμμὴ ἡ ΑΒ ἂς τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ ἔστω μεγαλύτερον τμῆμα τὸ ΑΓ· λέγω, ὅτι $ΑΒ^2 + ΒΓ^2 = 3ΑΓ^2$.

Διότι, ἐπειδὴ $ΑΒ^2 + ΒΓ^2 = 3ΑΓ^2$, ἀλλὰ $ΑΒ^2 + ΒΓ^2 = 2ΑΒ \times ΒΓ + ΑΓ^2$ (II. 7), εἶναι ἄρα $2ΑΒ \times ΒΓ + ΑΓ^2 = 3ΑΓ^2$· δι' ἀφαιρέσεως ἄρα εἶναι $2ΑΒ \times ΒΓ = 2ΑΓ^2$· ὥστε $ΑΒ \times ΒΓ = ΑΓ^2$. Εἶναι δέ· διότι ἡ ΑΒ ἔχει τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ.

Ἡ σύνθεσις.

Ἐπειδὴ ἡ ΑΒ ἔχει τμηθῇ εἰς ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ εἶναι μεγαλύτερον τμῆμα ἡ ΑΓ, εἶναι ἄρα $ΑΒ \times ΒΓ = ΑΓ^2$· εἶναι ἄρα $2ΑΒ \times ΒΓ =$

ΒΓ διπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΓ· συνθέντι τὸ ἄρα δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ ΑΓ τριπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΓ. ἀλλὰ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ τῆς ΑΓ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ ἐστι τετράγωνα· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ ΑΓ· ὅπερ ἔδει δεῖξαι.

Τοῦ $\overline{ε}$ θεωρήματος ἡ ἀνάλυσις καὶ ἡ σύνθεσις.

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τῇ ΑΓ ἴση κείσθω ἡ ΑΔ· λέγω, ὅτι ἡ ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ.

Ἐπεὶ γὰρ ἡ ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ, ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ. ἴση δὲ ἡ ΑΔ τῇ ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ· ἀναστρέψαντι ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΓ· διελόντι ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἴση δὲ ἡ ΑΔ τῇ ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἔστι δέ· ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ.



Ἡ σύνθεσις.

Ἐπεὶ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἴση δὲ ἡ ΑΓ τῇ ΑΔ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ· συνθέντι ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΓ· ἀναστρέψαντι ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ. ἴση δὲ ἡ ΑΓ τῇ ΑΔ· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς ΒΑ, οὕτως ἡ ΒΑ πρὸς ΑΔ. ἡ ἄρα ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ· ὅπερ ἔδει δεῖξαι.

9.

Εἰς βιβλ. XIII θεώρ. 17.

Ῥητὴ γὰρ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τὸ ΑΓ. προσκείσθω δὲ ἡ ΑΔ ἡμίσεια τῆς ΑΒ. ῥητὴ ἄρα καὶ ἡ ΑΔ. καὶ ἐπεὶ πενταπλάσιον τὸ ἀπὸ ΓΔ τοῦ ἀπὸ ΔΑ, αἱ ΓΔ, ΔΑ ἄρα ῥηταί εἰσιν δυνάμει μόνον σύμμετροι. ἀποτομὴ ἄρα ἡ ΑΓ. ῥητὴ δὲ ἡ ΑΒ. τὸ δὲ ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομήν· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΒΓ. ἑκάτερον ἄρα τῶν ΑΓ, ΓΒ ἀποτομή ἐστιν· προσαρμόζουσα δὲ τῆς μὲν ΑΓ ἡ ΑΔ, τῆς δὲ ΓΒ ἡ ΓΔ.



$2ΑΓ^2$· καὶ διὰ προσθέσεως ἄρα εἶναι $2ΑΒ \times ΒΓ + ΑΓ^2 = 3ΑΓ^2$. Ἀλλὰ $2ΑΒ \times ΒΓ + ΑΓ^2 = ΑΒ^2 + ΒΓ^2$ (II. 7)· εἶναι ἄρα $ΑΒ^2 + ΒΓ^2 = 3ΑΓ^2$· ὅπερ ἔδει δεῖξαι.

